# ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ
## Opening considerations

### *A link to Luke*

1 Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ
πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς
ποιεῖν τε καὶ διδάσκειν 2 ἄχρι ἧς ἡμέρας,
ἐντειλάμενος τοῖς ἀποστόλοις διὰ Πνεύματος
Ἁγίου οὓς ἐξελέξατο, ἀνελήφθη·[*] 3 οἷς καὶ
παρέστησεν ἑαυτὸν ζῶντα, μετὰ τὸ παθεῖν
αὐτόν, ἐν πολλοῖς τεκμηρίοις, δι᾽ ἡμερῶν
τεσσαράκοντα[†] ὀπτανόμενος αὐτοῖς καὶ
λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ.
4 Καὶ συναλιζόμενος[‡] παρήγγειλεν αὐτοῖς ἀπὸ
Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν
τὴν ἐπαγγελίαν τοῦ Πατρός, «ἣν ἠκούσατέ
μου· 5 ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς
δὲ βαπτισθήσεσθε ἐν Πνεύματι[§] Ἁγίῳ οὐ μετὰ
πολλὰς ταύτας ἡμέρας.»

### *Jesus returns to Heaven*

---

[*] **1:2** ανεληφθη *rell* ¦ ανελημφθη אA,B,C [1%] NU ¦ D is wild [†] **1:3** τεσσαρακοντα $\mathbf{f}^{35}$ [98%] HF,RP,OC,TR,CP ¦ τεσσερακοντα אA,B,C(D) [2%] NU [‡] **1:4** συναλιζομενος *rell* ¦ συναυλιζομενος [15%] ¦ συναλισκομενος D [§] **1:5** βαπτισθησεσθε (βαπτισθησεσθαι A,C 5.6%) εν πνευματι $\mathbf{f}^{35}$ (A,C) (98.8%) HF,RP,OC,TR,CP ¦ 231 B (0.5%) NU ¦ 23 βαπτισθησεσθαι א(D) (0.7%)

6 Οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων* αὐτὸν
λέγοντες, «Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ
ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ;»
7 Εἶπεν δὲ πρὸς αὐτούς· «Οὐχ ὑμῶν ἐστιν
γνῶναι χρόνους ἢ καιροὺς οὓς ὁ Πατὴρ ἔθετο
ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. 8 Ἀλλὰ λήψεσθε† δύναμιν,
ἐπελθόντος τοῦ Ἁγίου Πνεύματος ἐφ᾽ ὑμᾶς·
καὶ ἔσεσθέ μοι‡ μάρτυρες—ἔν τε Ἱερουσαλήμ,
καὶ§ πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ, καὶ ἕως
ἐσχάτου τῆς γῆς.»
9 Καὶ ταῦτα εἰπών, βλεπόντων αὐτῶν,
ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν
ὀφθαλμῶν αὐτῶν. 10 Καὶ ὡς ἀτενίζοντες
ἦσαν εἰς τὸν οὐρανόν, πορευομένου αὐτοῦ,
καὶ ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς
ἐν ἐσθῆτι λευκῇ,* 11 οἳ καὶ εἶπον·† «Ἄνδρες
Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες‡ εἰς τὸν
οὐρανόν; Οὗτος§ Ἰησοῦς ὁ ἀναληφθεὶς* ἀφ᾽
ὑμῶν εἰς τὸν οὐρανόν, οὕτως ἐλεύσεται ὃν

---

* **1:6** επηρωτων **f35** D [99%] HF,RP,OC,TR,CP ¦ ηρωτων ℵA,B [1%] NU ¦ ηρωτουν C † **1:8** ληψεσθε **f35** [93%] HF,RP,OC,TR,CP ¦ ληψεσθαι [5%] ¦ λημψεσθαι ℵC,D ¦ λημψεσθε A,B,NU ‡ **1:8** μοι **f35** [98%] HF,RP,OC,TR,CP ¦ μου ℵA,B,C,D [2%] NU § **1:8** και **f35** A,C,D [25%] ¦ 1 εν ℵB [75%] HF,RP,OC,TR,CP[NU] * **1:10** εσθητι λευκη **f35** D [97%] HF,RP,OC,TR,CP ¦ εσθησεσι λευκαις ℵ(A)(B)C [3%] NU † **1:11** ειπον **f35** [98%] HF,RP,OC,TR,CP ¦ ειπαν ℵA,B,C,D [2%] NU ‡ **1:11** εμβλεποντες **f35** A,C,D [75%] HF,RP,OC,TR,CP[NU] ¦ βλεποντες ℵB [25%] § **1:11** ουτος **f35** [30%] ¦ 1 ο ℵA,B,C,D [70%] HF,RP,OC,TR,CP,NU (A demonstrative pronoun defines, even more than a definite article, so the article is redundant here.) * **1:11** αναληφθεις **f35** [94%] HF,RP,OC,TR,CP ¦ αναληφθης [4%] ¦ αναλημφθεις ℵA,B,C,D [2%] NU

τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν.»
12 Τότε ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ἀπὸ
ὄρους τοῦ καλουμένου Ἐλαιῶνος, ὅ ἐστιν
ἐγγὺς Ἱερουσαλὴμ (σαββάτου ἔχον† ὁδόν).

### *A replacement for Judas Iscariot*

13 Καὶ ὅτε εἰσῆλθον ἀνέβησαν εἰς τὸ
ὑπερῷον‡ οὗ ἦσαν καταμένοντες· ὅ τε
Πέτρος καὶ Ἰάκωβος, Ἰωάννης§ καὶ Ἀνδρέας,
Φίλιππος καὶ Θωμᾶς, Βαρθολομαῖος καὶ
Ματθαῖος,* Ἰάκωβος Ἀλφαίου καὶ Σίμων
ὁ Ζηλωτής, καὶ Ἰούδας Ἰακώβου. 14 Οὗτοι
πάντες ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν
τῇ προσευχῇ καὶ τῇ δεήσει,† σὺν γυναιξίν,
καὶ Μαρίᾳ‡ τῇ μητρὶ τοῦ Ἰησοῦ, καὶ σὺν§ τοῖς
ἀδελφοῖς αὐτοῦ.
15 Καὶ ἐν ταῖς ἡμέραις ταύταις ἀναστὰς
Πέτρος ἐν μέσῳ τῶν μαθητῶν* εἶπεν
(ἦν τε ὄχλος ὀνομάτων ἐπὶ τὸ αὐτὸ ὡς†

---

† **1:12** εχον *rell* ¦ εχων B [15%] ‡ **1:13** ανεβησαν εις το υπερωον **f**35 (D) [98%] HF,RP,OC,TR,CP ¦ 234 א ¦ 2341 A,B,C [1.5%] NU § **1:13** ιακωβος ιωαννης **f**35 [25%] ¦ 1 και 2 [73%] HF,RP,OC,TR,CP ¦ 2 και 1 אA,C [2%] NU ¦ ιωανης και 1 B ¦ ιωανης ειακωβος D * **1:13** ματθαιος **f**35 A,C [99%] HF,RP,OC,TR,CP ¦ μαθθαιος אB,D [1%] NU † **1:14** και τη δεησει **f**35 (96.1%) HF,RP,OC,TR,CP ¦ — אA,B,C,D (3.9%) NU ‡ **1:14** μαρια **f**35 אA,C,D [96%] HF,RP,OC,TR,CP ¦ μαριαμ B [4%] NU § **1:14** συν **f**35 B [94%] HF,RP,OC,TR,CP ¦ — אA,C,D [6%] NU * **1:15** μαθητων **f**35 D [97%] HF,RP,OC,TR,CP ¦ αδελφων אA,B,C [3%] NU † **1:15** ως **f**35 B,D [95%] HF,RP,OC,TR,CP ¦ ωσει אA,C [5%] NU

ἑκατὸν εἴκοσιν)·‡ 16 «Ἄνδρες ἀδελφοί·
ἔδει πληρωθῆναι τὴν Γραφὴν ταύτην,§ ἣν
προεῖπεν τὸ Πνεῦμα τὸ Ἅγιον διὰ στόματος
Δαυὶδ περὶ Ἰούδα, τοῦ γενομένου ὁδηγοῦ
τοῖς συλλαβοῦσιν τὸν* Ἰησοῦν, 17 ὅτι
κατηριθμημένος ἦν σὺν† ἡμῖν καὶ ἔλαχεν τὸν
κλῆρον τῆς διακονίας ταύτης.» 18 (Οὗτος μὲν
οὖν ἐκτήσατο χωρίον ἐκ‡ μισθοῦ τῆς ἀδικίας,
καὶ πρηνὴς§ γενόμενος ἐλάκισεν* μέσος, καὶ
ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ. 19 Καὶ
γνωστὸν ἐγένετο πᾶσιν τοῖς κατοικοῦσιν
Ἱερουσαλήμ, ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο
τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν ‹Ἀκελδαμᾶ,›† τοῦτ᾽
ἔστιν, ‹Χωρίον Αἵματος.›) 20 «Γέγραπται γὰρ
ἐν Βίβλῳ Ψαλμῶν· ‹Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ
ἔρημος, καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ›
καί, ‹Τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι‡ ἕτερος.›
21 Δεῖ οὖν, τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν
παντὶ χρόνῳ ἐν§ ᾧ εἰσῆλθεν καὶ ἐξῆλθεν
ἐφ᾽ ἡμᾶς ὁ Κύριος Ἰησοῦς, 22 ἀρξάμενος
ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου ἕως τῆς

‡ **1:15** εικοσιν **f**35 [50%] HF,OC,TR ¦ εικοσι אA,B,C [50%] RP,CP,NU § **1:16** ταυτην **f**35 D [95%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [5%] NU * **1:16** τον **f**35 D [99%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [1%] NU † **1:17** συν **f**35 [97%] HF,RP,OC,TR,CP ¦ εν אA,B,C,D [3%] NU ‡ **1:18** εκ *rell* ¦ 1 του [5%] TR § **1:18** πρηνης *rell* ¦ πρινης A,C [20%] * **1:18** ελακισεν **f**35 [40%] ¦ ελακησεν אA,B,C,D [60%] HF,RP,OC,TR,CP,NU † **1:19** ακελδαμα **f**35 C [98%] HF,RP,OC,TR,CP ¦ ακελδαμαχ B(D) [1%] NU ¦ αχελδαμαχ אA [1%] ‡ **1:20** λαβοι **f**35 [93%] HF,RP,OC,TR,CP ¦ λαβετω אA,B,C,D [2%] NU ¦ λαβη [5%] § **1:21** εν **f**35 [97%] HF,RP,OC,TR,CP ¦ — אA,B,C(D) [3%] NU

ἡμέρας ἧς ἀνελήφθη* ἀφ᾽ ἡμῶν, μάρτυρα
τῆς ἀναστάσεως αὐτοῦ γενέσθαι σὺν ἡμῖν†
ἕνα τούτων.»
23 Καὶ ἔστησαν δύο, Ἰωσὴφ τὸν καλούμενον
Βαρσαβᾶν,‡ ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ
Ματθίαν.§ 24 Καὶ προσευξάμενοι εἶπον· «Σὺ
Κύριε, καρδιογνῶστα πάντων, ἀνάδειξον ὃν
ἐξελέξω ἐκ τούτων τῶν δύο ἕνα* 25 λαβεῖν τὸν
κλῆρον† τῆς διακονίας ταύτης καὶ ἀποστολῆς,
ἐξ‡ ἧς παρέβη Ἰούδας πορευθῆναι εἰς τὸν
τόπον τὸν ἴδιον.» 26 Καὶ ἔδωκαν κλήρους
αὐτῶν,§ καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ματθίαν,*
καὶ συγκατεψηφίσθη† μετὰ τῶν ἕνδεκα
ἀποστόλων.

## Pentecost

# 2

1 Καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς

---

* **1:22** ανεληφθη *rell* ¦ ανελημφθη אA,B,D [1.5%] NU † **1:22** γενεσθαι συν ημιν **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 231 אA,B,C(D) [5%] NU ‡ **1:23** βαρσαβαν **f**35 C,D [70%] HF,RP,TR,CP ¦ βαρσαββαν אA,B [30%] OC,NU § **1:23** ματθιαν **f**35 א(A)C [99%] HF,RP,OC,TR,CP ¦ μαθθιαν B,D [1%] NU * **1:24** ον εξελεξω εκ τουτων των δυο ενα **f**35 אA,B,C [95%] HF,RP,OC,CP,NU ¦ 3456712 [5%] TR † **1:25** κληρον **f**35 א [98%] HF,RP,OC,TR,CP ¦ τοπον A,B,C(D) [2%] NU ‡ **1:25** εξ **f**35 [97%] HF,RP,OC,TR,CP ¦ αφ אA,B,C,D [3%] NU § **1:26** αυτων **f**35 D [97%] HF,RP,OC,TR,CP ¦ αυτοις אA,B,C [3%] NU * **1:26** ματθιαν **f**35 אA,C [99%] HF,RP,OC,TR,CP ¦ μαθθιαν B,D [1%] NU † **1:26** συγκατεψηφισθη *rell* ¦ συγκατεψυφισθη CP

Πεντηκοστῆς, ἦσαν ἅπαντες*,† ὁμοθυμαδὸν‡
ἐπὶ τὸ αὐτό. 2 Καὶ ἐγένετο ἄφνω ἐκ τοῦ
οὐρανοῦ ἦχος, ὥσπερ φερομένης πνοῆς
βιαίας, καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον οὗ
ἦσαν καθήμενοι. 3 Καὶ ὤφθησαν αὐτοῖς
διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός,
ἐκάθισέν τε§ ἐφ᾽ ἕνα ἕκαστον αὐτῶν. 4 Καὶ
ἐπλήσθησαν ἅπαντες* Πνεύματος Ἁγίου καὶ
ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ
Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι.†

### *People from all over*

5 Ἦσαν δὲ ἐν‡ Ἱερουσαλὴμ κατοικοῦντες
Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς ἀπὸ παντὸς ἔθνους
τῶν ὑπὸ τὸν οὐρανόν.§ 6 Γενομένης δὲ τῆς
φωνῆς ταύτης, συνῆλθεν τὸ πλῆθος καὶ
συνεχύθη, ὅτι ἤκουον εἷς ἕκαστος τῇ ἰδίᾳ
διαλέκτῳ λαλούντων αὐτῶν. 7 Ἐξίσταντο
δὲ* καὶ ἐθαύμαζον, λέγοντες πρὸς ἀλλήλους·†

---

* **2:1** απαντες **f**35 [80%] HF,RP,OC,TR,CP ¦ παντες A,B,C [20%] NU ¦ — א ¦ παντων D † **2:1** απαντες/παντες *rell* ¦ 1 οι αποστολοι [20%] ‡ **2:1** ομοθυμαδον **f**35 (94.3%) HF,RP,OC,TR,CP ¦ ομοθυμαδων (2.9%) ¦ ομου אA,B,C (2.3%) NU ¦ two other readings D (0.5%) § **2:3** εκαθισεν τε **f**35 A [98%] HF,RP,OC,TR,CP ¦ 1 δε C ¦ και 1 B [1%] NU ¦ και εκαθισαν א ¦ και εκαθισαν 2 D * **2:4** απαντες **f**35 C [98%] HF,RP,OC,TR,CP ¦ παντες אA,B,D [2%] NU † **2:4** αυτοις αποφθεγγεσθαι **f**35 [97%] HF,RP,OC,TR,CP ¦ 21 אA,B,C,D [3%] NU ‡ **2:5** εν **f**35 B,C,D [99%] HF,RP,OC,TR,CP ¦ εις אA [1%] NU § **2:5** τον ουρανον *rell* ¦ των ουρανων [13%] * **2:7** δε **f**35 B,D [65%] HF,CP,NU ¦ 1 παντες (א)A,C [35%] RP,OC,TR (*TuT* is completely off here.) † **2:7** προς αλληλους **f**35 D (97.3%) HF,RP,OC,TR,CP ¦ — אA,B,C (2.7%) NU

«Οὐκ,‡ ἰδού, πάντες§ οὗτοί εἰσιν οἱ λαλοῦντες
Γαλιλαῖοι; 8 Καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος
τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ ἐγεννήθημεν;*
9 Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται· καὶ οἱ
κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν
τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν,
10 Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ
τὰ μέρη τῆς Λιβύης† τῆς κατὰ Κυρήνην· καὶ
οἱ ἐπιδημοῦντες Ῥωμαῖοι—Ἰουδαῖοί τε καὶ
προσήλυτοι— 11 Κρῆτες καὶ Ἄραβες· ἀκούομεν
λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις
τὰ μεγαλεῖα τοῦ Θεοῦ.» 12 Ἐξίσταντο δὲ
πάντες καὶ διηπόρουν, ἄλλος πρὸς ἄλλον
λέγοντες, «Τί ἂν‡ θέλοι§ τοῦτο εἶναι;»
13 Ἕτεροι δὲ διαχλευάζοντες,* ἔλεγον ὅτι
«Γλεύκους μεμεστωμένοι† εἰσίν.»

## *Peter's proclamation*

14 Σταθεὶς δὲ‡ Πέτρος, σὺν τοῖς
ἕνδεκα, ἐπῆρεν τὴν φωνὴν αὐτοῦ καὶ

---

‡ **2:7** ουκ **f**35 A,C [98%] HF,RP,OC,TR,CP ¦ ουχ אD [2%] NU ¦ ουχι B § **2:7** παντες **f**35 B [98%] HF,RP,OC,TR,CP ¦ απαντες אA,C,D [2%] NU * **2:8** εγεννηθημεν **f**35 אB,C,D [75%] HF,RP,OC,TR,NU ¦ εγενηθημεν A [25%] CP † **2:10** λιβυης *rell* ¦ λυβιης [15%] ¦ λιβυας CP ¦ λιβουης D ‡ **2:12** αν **f**35 [97%] HF,RP,OC,TR,CP ¦ — אA,B,C,D [3%] NU § **2:12** θελοι **f**35 א [93%] HF,RP,OC,TR,CP ¦ θελει (A)B,C,D [7%] NU * **2:13** διαχλευαζοντες **f**35 אA,B,C [25%] NU ¦ χλευαζοντες [75%] HF,RP,OC,TR,CP ¦ διεχλευαζον D † **2:13** μεμεστωμενοι *rell* ¦ μεμεστομενοι [7%] ¦ μεμεσταμενοι [5%] ‡ **2:14** δε **f**35 C [88%] HF,RP,OC,TR,CP ¦ 1 ο אA,B,D [12%] NU

ἐπεφθέγξατο§ αὐτοῖς· «Ἄνδρες —Ἰουδαῖοι
καὶ οἱ κατοικοῦντες Ἱερουσαλὴμ ἅπαντες*—
τοῦτο ὑμῖν γνωστὸν ἔστω· καί, ἐνωτίσασθε
τὰ ῥήματά μου. 15 Οὐ γάρ, ὡς ὑμεῖς
ὑπολαμβάνετε, οὗτοι μεθύουσιν (ἔστιν γὰρ
ὥρα τρίτη τῆς ἡμέρας), 16 ἀλλὰ τοῦτό ἐστιν τὸ
εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ·

17 ‹Καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις,
λέγει ὁ Θεός· Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός
μου ἐπὶ πᾶσαν σάρκα· καὶ προφητεύσουσιν
οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες† ὑμῶν·
καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται·
καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια‡
ἐνυπνιασθήσονται. 18 Καί γε ἐπὶ τοὺς
δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς
ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός
μου, καὶ προφητεύσουσιν. 19 Καὶ δώσω
τέρατα ἐν τῷ οὐρανῷ ἄνω καὶ σημεῖα ἐπὶ
τῆς γῆς κάτω· αἷμα καὶ πῦρ καὶ ἀτμίδα
καπνοῦ. 20 Ὁ ἥλιος μεταστραφήσεται εἰς
σκότος καὶ ἡ σελήνη εἰς αἷμα πρὶν ἢ §
ἐλθεῖν τὴν* ἡμέραν Κυρίου τὴν μεγάλην
καὶ ἐπιφανῆ. 21 Καὶ ἔσται· πᾶς ὃς ἂν

---

§ **2:14** επεφθεγξατο $\mathbf{f}^{35}$ [25%] ¦ απεφθεγξατο אA,B,C [75%] HF,RP,OC,TR,CP,NU ¦ ειπεν D [Is the verb επιφθεγγομαι or αποφθεγγομαι? They are similar in meaning.] * **2:14** απαντες $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ παντες אA,B,C [5%] NU ¦ — D † **2:17** θυγατερες *rell* ¦ θυγατεραις C [20%] ‡ **2:17** ενυπνια $\mathbf{f}^{35}$ [85%] HF,RP,OC,TR ¦ ενυπνιοις אA,B,C [15%] CP,NU ¦ — D § **2:20** η $\mathbf{f}^{35}$ B [95%] HF,RP,OC,TR,CP ¦ — אA,C,D [5%] NU * **2:20** την $\mathbf{f}^{35}$ A,C [99%] HF,RP,OC,TR,CP ¦ — אB,D [1%] NU

ἐπικαλέσηται† τὸ ὄνομα Κυρίου σωθήσεται.›
22 »Ἄνδρες Ἰσραηλῖται, ἀκούσατε τοὺς
λόγους τούτους· Ἰησοῦν τὸν Ναζωραῖον,
ἄνδρα ἀπὸ τοῦ Θεοῦ ἀποδεδειγμένον‡ εἰς
ὑμᾶς δυνάμεσιν καὶ τέρασιν καὶ σημείοις,
οἷς ἐποίησεν δι᾽ αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ
ὑμῶν, καθὼς καὶ§ αὐτοὶ οἴδατε, 23 τοῦτον
—τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ
ἔκδοτον —λαβόντες* διὰ χειρῶν† ἀνόμων,
προσπήξαντες, ἀνείλετε·‡ 24 ὃν ὁ Θεὸς
ἀνέστησεν, λύσας τὰς ὠδῖνας τοῦ θανάτου,
καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ᾽
αὐτοῦ. 25 Δαυὶδ γὰρ λέγει εἰς αὐτόν·
‹Προωρώμην§ τὸν Κύριον ἐνώπιόν μου διὰ
παντός, ὅτι ἐκ δεξιῶν μού ἐστιν ἵνα μὴ
σαλευθῶ. 26 Διὰ τοῦτο εὐφράνθη* ἡ καρδία
μου καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου. Ἔτι
δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ᾽ ἐλπίδι,
27 ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου
εἰς Ἅδου,† οὐδὲ δώσεις τὸν Ὅσιόν σου

---

† **2:21** επικαλεσηται *rell* ¦ επικαλεσεται [15%] ¦ επικαλεσειται [3%] ¦ επικαλεσητε A ‡ **2:22** απο του θεου αποδεδειγμενον **f**35 A [94%] HF,RP,OC,TR,CP ¦ 4123 (א)B(C) [6%] NU ¦ 123 δεδοκιμασμενον D § **2:22** και **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — אA,B,C,D [5%] NU * **2:23** λαβοντες **f**35 D (97.3%) HF,RP,OC,TR,CP ¦ — אA,B,C (2.7%) NU † **2:23** χειρων **f**35 [95%] HF,RP,OC,TR,CP ¦ χειρος אA,B,C,D [5%] NU ‡ **2:23** ανειλετε **f**35 [70%] HF,RP,OC,TR,CP ¦ ανειλατε אA,B,C,D [25%] NU ¦ four other spellings [5%] § **2:25** προωρωμην **f**35 [96%] HF,RP,OC,TR,CP ¦ προορωμην אA,B,C,D [4%] NU * **2:26** ευφρανθη **f**35 [70%] HF,RP,OC,TR,CP ¦ ηυφρανθη אA,B,C,D [30%] NU † **2:27** αδου **f**35 [85%] RP,OC,TR,CP ¦ αδην אA,B,C,D [15%] NU ¦ αιδου HF

ἰδεῖν διαφθοράν. 28 Ἐγνώρισάς μοι ὁδοὺς
ζωῆς· πληρώσεις με εὐφροσύνης μετὰ τοῦ
προσώπου σου.›
29 »Ἄνδρες ἀδελφοί, ἐξὸν εἰπεῖν μετὰ
παρρησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου
Δαυίδ, ὅτι καὶ ἐτελεύτησεν καὶ ἐτάφη, καὶ τὸ
μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας
ταύτης. 30 Προφήτης οὖν ὑπάρχων, καὶ εἰδὼς
ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεὸς ἐκ καρποῦ τῆς
ὀσφύος αὐτοῦ, τὸ κατὰ σάρκα, ἀναστήσειν
τὸν Χριστὸν‡ καθίσαι ἐπὶ τοῦ Θρόνου§ αὐτοῦ,
31 προϊδὼν ἐλάλησεν περὶ τῆς ἀναστάσεως
τοῦ Χριστοῦ, ὅτι ‹Οὐ* κατελείφθη ἡ ψυχὴ
αὐτοῦ† εἰς Ἅδου,‡ οὐδὲ§ ἡ σὰρξ αὐτοῦ εἶδεν
διαφθοράν.›
32 »Τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ Θεός,
οὗ πάντες ἡμεῖς ἐσμεν μάρτυρες. 33 Τῇ δεξιᾷ
οὖν τοῦ Θεοῦ ὑψωθείς, τήν τε ἐπαγγελίαν τοῦ

---

‡ **2:30** το κατα σαρκα αναστησειν τον χριστον **f**[35] (D) (96.1%) HF,RP,OC,TR,CP ¦ 456 (1.6%) ¦ — אA,B,C (2.3%) NU (There are a number of variations scattered about: αναστησει 2.3%, αναστησαι 5%, +τε 6.1%, +και 5.6%.) § **2:30** του θρονου **f**[35] [70%] HF,RP,OC,TR,CP ¦ τον θρονον אA,B,C,D [10%] NU ¦ 2 [20%] * **2:31** ου **f**[35] [71%] HF,RP,OC,TR ¦ ουκ [27%] CP ¦ ουτε אA,B,C,D [2%] NU (The choice ου/ουκ is governed by the following letter.) † **2:31** κατελειφθη η ψυχη αυτου **f**[35] (68.7%) HF,RP,OC,TR ¦ κατεληφθη 234 (1.8%) ¦ εγκατελειφθη 234 (23.1%) CP ¦ εγκατεληφθη 234 (4.1%) ¦ εγκατελειφθη (א)A(B,C,D) (1.8%) NU ¦ two other variants (0.5%) ‡ **2:31** αδου **f**[35] A,C,D [90%] RP,OC,TR,CP ¦ αδην אB [10%] NU ¦ αιδου HF § **2:31** ουδε **f**[35] B [92%] HF,RP,OC,TR,CP ¦ ουτε אA,C,D [8%] NU

Ἁγίου Πνεύματος* λαβὼν παρὰ τοῦ Πατρός,
ἐξέχεεν τοῦτο ὃ νῦν† ὑμεῖς‡ βλέπετε καὶ
ἀκούετε. 34 Οὐ γὰρ Δαυὶδ ἀνέβη εἰς τοὺς
οὐρανούς, λέγει δὲ αὐτός· ‹Εἶπεν ὁ § Κύριος
τῷ Κυρίῳ μου· «Κάθου ἐκ δεξιῶν μου 35 ἕως
ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν
σου.»› 36 Ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος
Ἰσραὴλ ὅτι καὶ* Κύριον καὶ Χριστὸν αὐτὸν† ὁ
Θεὸς ἐποίησεν,‡ τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς
ἐσταυρώσατε.»

### *The reaction*

37 Ἀκούσαντες δὲ κατενύγησαν τῇ καρδίᾳ,§
εἶπόν τε πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς
ἀποστόλους, «Τί ποιήσομεν,* ἄνδρες
ἀδελφοί;» 38 Εἶπεν δὲ Πέτρος πρὸς αὐτούς·
«Μετανοήσατε† καὶ βαπτισθήτω, ἕκαστος
ὑμῶν, ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ, εἰς

---

* **2:33** αγιου πνευματος **f**35 D [95%] HF,RP,OC,TR,CP ¦ 2 του 1 אA,B,C [5%] NU † **2:33** νυν **f**35 [96%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [4%] NU ‡ **2:33** υμεις **f**35 אA(C) [99.5%] HF,RP,OC,TR,CP ¦ 1 και B(D)[NU] § **2:34** ο **f**35 A,C [95%] HF,RP,OC,TR,CP[NU] ¦ — אB(D) [5%] * **2:36** και *rell* ¦ — [2%] some TRs † **2:36** και χριστον αυτον **f**35 [94%] HF,RP,OC,TR,CP ¦ 312 אA,B,C [4%] NU ¦ 12 D [2%] ‡ **2:36** ο θεος εποιησεν **f**35 A,C,D [99%] HF,RP,OC,TR,CP ¦ 312 אB [1%] NU § **2:37** τη καρδια **f**35 D [98%] HF,RP,OC,TR,CP ¦ την καρδιαν אA,B,C [2%] NU * **2:37** ποιησομεν **f**35 D [60%] RP,OC,TR ¦ ποιησωμεν אA,B,C [40%] HF,CP,NU † **2:38** ειπεν δε πετρος προς αυτους μετανοησατε **f**35 [20%] ¦ 32 εφη 456 [72%] HF,RP,OC,TR,CP ¦ 32456 φησιν אA,C [2%] [NU] ¦ 32456 B ¦ 3245 φησιν 6 D ¦ five further variants [5%]

ἄφεσιν ἁμαρτιῶν,‡ καὶ λήψεσθε§ τὴν δωρεὰν
τοῦ Ἁγίου Πνεύματος. 39 Ὑμῖν γάρ ἐστιν ἡ
ἐπαγγελία, καὶ τοῖς τέκνοις ὑμῶν, καὶ πᾶσιν
τοῖς εἰς μακράν—ὅσους ἂν προσκαλέσηται
Κύριος ὁ Θεὸς ἡμῶν.» 40 Ἑτέροις τε λόγοις
πλείοσιν διεμαρτύρατο* καὶ παρεκάλει†
λέγων, «Σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς
ταύτης.»

## The beginning of the Church

41 Οἱ μὲν οὖν ἀσμένως‡ ἀποδεξάμενοι
τὸν λόγον αὐτοῦ ἐβαπτίσθησαν, καὶ
προσετέθησαν§ τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ
τρισχίλιαι. 42 Ἦσαν δὲ προσκαρτεροῦντες τῇ
διδαχῇ τῶν ἀποστόλων καὶ τῇ κοινωνίᾳ, καὶ*
τῇ κλάσει τοῦ ἄρτου καὶ ταῖς προσευχαῖς.
43 Ἐγένετο† δὲ πάσῃ ψυχῇ φόβος—πολλά
τε τέρατα καὶ σημεῖα διὰ τῶν ἀποστόλων

‡ **2:38** αμαρτιων **f**35 D (95.3%) HF,RP,OC,TR,CP ¦ 1 υμων (1.4%) ¦ των 1 υμων אA,B(C) (1.8%) NU ¦ των 1 (1.6%) § **2:38** ληψεσθε **f**35 [95%] HF,RP,OC,TR,CP ¦ λημψεσθε A,B,NU ¦ λημψεσθαι אC,D [1%] ¦ ληψεσθαι [3%] * **2:40** διεμαρτυρατο **f**35 אA,B(C)D [45%] NU ¦ διεμαρτυρετο [55%] HF,RP,OC,TR,CP (Aorist or Imperfect? The immediately following verb presumably exerted pressure.) † **2:40** παρεκαλει **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 1 αυτους אA,B,C,D [4%] NU ¦ 1 αυτοις [1%] ‡ **2:41** ασμενως **f**35 [97%] HF,RP,OC,TR,CP ¦ — אA,B,C,D [3%] NU § **2:41** προσετεθησαν **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 1 εν אA,B,C,D [5%] NU * **2:42** και **f**35 [98%] HF,RP,OC,TR,CP ¦ — אA,B,C,D [2%] NU † **2:43** εγενετο **f**35 [98%] HF,RP,OC,TR,CP ¦ εγινετο אA(B,C,D) [2%] NU

ἐγίνετο.‡

### *All things in common*

44 Πάντες δὲ οἱ πιστεύοντες§ ἦσαν ἐπὶ
τὸ αὐτὸ καὶ εἶχον ἅπαντα κοινά· 45 καὶ
τὰ κτήματα καὶ τὰς ὑπάρξεις ἐπίπρασκον
καὶ διεμέριζον αὐτὰ πᾶσιν καθότι ἄν
τις χρείαν εἶχεν. 46 Καθ᾽ ἡμέραν* τε
προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ,
κλῶντές τε κατ᾽ οἶκον ἄρτον· μετελάμβανον
τροφῆς ἐν ἀγαλλιάσει καὶ ἀφελότητι καρδίας,
47 αἰνοῦντες τὸν Θεὸν καὶ ἔχοντες χάριν πρὸς
ὅλον τὸν λαόν. Ὁ δὲ Κύριος προσετίθει† τοὺς
σῳζομένους καθ᾽ ἡμέραν τῇ ἐκκλησίᾳ.‡

# 3

### *A man lame from birth*

1 Ἐπὶ τὸ αὐτὸ δὲ Πέτρος* καὶ Ἰωάννης
ἀνέβαινον εἰς τὸ ἱερὸν ἐπὶ τὴν ὥραν τῆς

---

‡ **2:43** εγινετο **f**$^{35}$ B,D (88.1%) HF,RP,OC,TR,CP,NU (εγενετο [15%], εγεινετο B,C,D) ¦ 1 εν (εις 1.8%) ιερουσαλημ φοβος τε ην μεγας επι παντας (+αυτους 3.2%) אA,C (7.2%) ¦ 1234567 (1.8%) ¦ 123 (2.3%) ¦ two other readings (0.7%) § **2:44** πιστευοντες **f**$^{35}$ A,C,D [88%] HF,RP,OC,TR,NU ¦ πιστευσαντες אB [12%] CP * **2:46** **f**$^{35}$ [40%] accent καθημεραν as one word, but since the meaning evidently remains the same I stay with the conventional spelling. This statement obtains throughout. Since the *theta* signals aspiration, there is no ambiguity; the scribes were just saving ink. † **2:47** προσετιθει *rell* ¦ προσετιθη [20%] ‡ **2:47** τη εκκλησια **f**$^{35}$ (D) (97.1%) HF,RP,OC,TR,CP ¦ — אA,B,C (2.9%) NU * **3:1** δε πετρος **f**$^{35}$ (D) (89.2%) HF,RP,OC,TR,CP ¦ 21 אA,B,C (7.6%) NU ¦ 2 (3.1%)

προσευχῆς (τὴν ἐνάτην).† 2 Καί τις ἀνήρ,
χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων,
ἐβαστάζετο (ὃν ἐτίθουν καθ᾽ ἡμέραν
πρὸς τὴν θύραν τοῦ ἱεροῦ, τὴν λεγομένην
Ὡραίαν, τοῦ αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν
εἰσπορευομένων εἰς τὸ ἱερόν), 3 ὅς, ἰδὼν
Πέτρον καὶ Ἰωάννην μέλλοντας εἰσιέναι εἰς
τὸ ἱερόν, ἠρώτα ἐλεημοσύνην.‡

### *Peter heals him*

4 Ἀτενίσας δὲ Πέτρος εἰς αὐτόν, σὺν τῷ
Ἰωάννῃ, εἶπεν, «Βλέψον εἰς ἡμᾶς.» 5 Ὁ δὲ
ἐπεῖχεν αὐτοῖς, προσδοκῶν τι παρ᾽ αὐτῶν
λαβεῖν. 6 Εἶπεν δὲ Πέτρος· «Ἀργύριον καὶ
χρυσίον οὐχ ὑπάρχει μοι, ὃ δὲ ἔχω, τοῦτό σοι
δίδωμι. Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ
Ναζωραίου, ἔγειραι καὶ§ περιπάτει.» 7 Καὶ
πιάσας αὐτὸν τῆς δεξιᾶς χειρὸς ἤγειρεν·*
παραχρῆμα δὲ ἐστερεώθησαν αὐτοῦ αἱ βάσεις†
καὶ τὰ σφυρά.‡ 8 Καὶ ἐξαλλόμενος ἔστη
καὶ περιεπάτει, καὶ εἰσῆλθεν σὺν αὐτοῖς
εἰς τὸ ἱερόν, περιπατῶν καὶ ἁλλόμενος καὶ
αἰνῶν τὸν Θεόν. 9 Καὶ εἶδεν αὐτὸν πᾶς

---

† **3:1** ενατην **f**$^{35}$ אA,B,C(D) [70%] HF,RP,OC,NU ¦ εννατην [30%] TR,CP ‡ **3:3** ελεημοσυνην **f**$^{35}$ (D) [94%] HF,RP,OC,CP ¦ 1 λαβειν אA,B,C [6%] TR,NU § **3:6** εγειραι και **f**$^{35}$ C [70%] RP,TR,CP ¦ εγειρε 2 A [30%] HF,OC[NU] ¦ — אB,D * **3:7** ηγειρεν **f**$^{35}$ (D) [97%] HF,RP,OC,TR,CP ¦ 1 αυτον אA,B,C [3%] NU † **3:7** αυτου αι βασεις **f**$^{35}$ D [97%] HF,RP,OC,TR,CP ¦ 231 (א)A,B,C [3%] NU ‡ **3:7** σφυρα **f**$^{35}$ D [95%] HF,RP,OC,TR,CP ¦ σφυδρα אA,B,C [1%] NU ¦ σφυρια [4%]

ὁ λαὸς§ περιπατοῦντα καὶ αἰνοῦντα τὸν
Θεόν· 10 ἐπεγίνωσκόν τε* αὐτὸν—ὅτι οὗτος†
ἦν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ
τῇ Ὡραίᾳ Πύλῃ τοῦ ἱεροῦ—καὶ ἐπλήσθησαν
θάμβους καὶ ἐκστάσεως ἐπὶ τῷ συμβεβηκότι
αὐτῷ.

## *Peter preaches*

11 Κρατοῦντος δὲ τοῦ ἰαθέντος χωλοῦ‡
τὸν Πέτρον καὶ§ Ἰωάννην, συνέδραμεν
πρὸς αὐτοὺς πᾶς ὁ λαὸς* ἐπὶ τῇ στοᾷ, τῇ
καλουμένῃ Σολομῶντος,† ἔκθαμβοι. 12 Ἰδὼν
δὲ‡ Πέτρος ἀπεκρίνατο πρὸς τὸν λαόν·
«Ἄνδρες Ἰσραηλῖται, τί θαυμάζετε ἐπὶ τούτῳ,§
ἢ ἡμῖν τί ἀτενίζετε ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ
πεποιηκόσιν τοῦ περιπατεῖν αὐτόν; 13 Ὁ Θεὸς

---

§ **3:9** αυτον πας ο λαος **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ 2341 אA,B,C,D [3%] NU * **3:10** τε **f**$^{35}$ [98%] HF,RP,OC,TR,CP ¦ δε אA,B,C [2%] NU ¦ ται D † **3:10** ουτος **f**$^{35}$ B,D [98%] HF,RP,OC,TR,CP ¦ αυτος אA,C [2%] NU ‡ **3:11** του ιαθεντος χωλου **f**$^{35}$ (88.8%) HF,RP,OC,TR,CP ¦ αυτου א(A)B,C,057 (10.8%) NU ¦ two other readings D (0.4%) § **3:11** και **f**$^{35}$ C(D) (91.3%) HF,RP,OC,TR,CP ¦ 1 τον אA,B,057 (8.7%) NU * **3:11** προς αυτους (αυτον 2%) πας ο λαος **f**$^{35}$ (91.9%) HF,RP,OC,TR,CP ¦ 34512 אA,B,C (7.4%) NU ¦ three other readings D (0.7%) † **3:11** σολομωντος (A) *rell* ¦ σολομωνος D [5%] CP ‡ **3:12** δε **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ 1 ο אA,B,C,D,057$^{V}$ [4%] NU § **3:12** τουτω *rell* ¦ τουτο [25%]

Ἀβραὰμ* καὶ† Ἰσαὰκ καὶ‡ Ἰακώβ, ὁ Θεὸς
τῶν πατέρων ἡμῶν, ἐδόξασεν τὸν Παῖδα
αὐτοῦ Ἰησοῦν, ὃν ὑμεῖς μὲν§ παρεδώκατε· καὶ
ἠρνήσασθε αὐτὸν* κατὰ πρόσωπον Πιλάτου,
κρίναντος ἐκείνου ἀπολύειν. 14 Ὑμεῖς δὲ τὸν
Ἅγιον καὶ Δίκαιον ἠρνήσασθε, καὶ ᾐτήσασθε
ἄνδρα φονέα χαρισθῆναι ὑμῖν, 15 τὸν δὲ
Ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε, ὃν ὁ Θεὸς
ἤγειρεν ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρές ἐσμεν.
16 Καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ,
τοῦτον ὃν θεωρεῖτε καὶ οἴδατε ἐστερέωσεν τὸ
ὄνομα αὐτοῦ. Καὶ ἡ πίστις ἡ δι᾽ αὐτοῦ ἔδωκεν
αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι
πάντων ὑμῶν.

17 »Καὶ νῦν, ἀδελφοί, οἶδα ὅτι κατὰ ἄγνοιαν
ἐπράξατε, ὥσπερ καὶ οἱ ἄρχοντες ὑμῶν. 18 Ὁ
δὲ Θεὸς ἃ προκατήγγειλεν διὰ στόματος
πάντων τῶν προφητῶν αὐτοῦ, παθεῖν τὸν

---

* **3:13** ἀβρααμ **f**$^{35}$ [50%] ¦ ἀβρααμ [50%] RP,HF,OC,CP,TR,NU (This name is aspirated throughout the book, and the statement of evidence also obtains throughout the book.) [When Jehovah changed Abram's name to Abraham (Genesis 17:5) the intervocalic aspiration in Hebrew is adequately represented in English by 'h'; but so far as I know, there is no way in Greek to indicate intervocalic aspiration within a word—the only alternative to losing the aspiration altogether would be to place it at the beginning of the word.] † **3:13** και **f**$^{35}$ B [95%] HF,RP,OC,TR,CP ¦ 1 ο θεος אC [5%] [NU] ¦ 1 θεος A,D ‡ **3:13** και **f**$^{35}$ B [97%] HF,RP,OC,TR,CP ¦ 1 ο θεος אC [3%] [NU] ¦ 1 θεος A,D § **3:13** μεν **f**$^{35}$ אA,B,C [85%] HF,RP,OC,NU ¦ — D [15%] CP,TR * **3:13** αυτον **f**$^{35}$ D [97%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [3%] NU

Χριστόν,† ἐπλήρωσεν οὕτως. 19 Μετανοήσατε
οὖν, καὶ ἐπιστρέψατε, εἰς τὸ ἐξαλειφθῆναι‡
ὑμῶν τὰς ἁμαρτίας, ὅπως ἂν ἔλθωσιν καιροὶ
ἀναψύξεως ἀπὸ προσώπου τοῦ§ Κυρίου
20 καὶ ἀποστείλῃ τὸν προκεχειρισμένον*
ὑμῖν Χριστόν, Ἰησοῦν,† 21 ὃν δεῖ οὐρανὸν
μὲν δέξασθαι ἄχρι χρόνων ἀποκαταστάσεως
πάντων, ὧν ἐλάλησεν ὁ Θεὸς διὰ στόματος
πάντων τῶν‡ ἁγίων αὐτοῦ προφητῶν ἀπ᾽
αἰῶνος.§

22 »Μωϋσῆς* μὲν γὰρ πρὸς τοὺς πατέρας
εἶπεν† ὅτι ‹Προφήτην ὑμῖν ἀναστήσει Κύριος
ὁ Θεὸς ἡμῶν‡ ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς
ἐμέ. Αὐτοῦ ἀκούσεσθε,§ κατὰ πάντα ὅσα ἂν
λαλήσῃ* πρὸς ὑμᾶς. 23 Ἔσται δέ, πᾶσα ψυχὴ

---

† **3:18** αυτου παθειν τον χριστον **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 2341 (א)B(C)D [4%] NU ¦ 234 [1%] ¦ 1 A ‡ **3:19** εξαλειφθηναι *rell* ¦ εξαληφθηναι [12%] ¦ εξαλιφθηναι אB,C [2%] § **3:19** του *rell* ¦ — [10%] * **3:20** προκεχειρισμενον *rell* ¦ προκεκηρυγμενον TR ¦ five further spellings A,C [5%] † **3:20** χριστον ιησουν **f**35 אB,D [75%] HF,RP,OC,NU ¦ 21 A,C [25%] CP,TR ‡ **3:21** παντων των **f**35 [85%] HF,RP,CP ¦ 2 אA,B,C,D [10%] NU ¦ 1 [5%] OC,TR § **3:21** αυτου προφητων απ αιωνος **f**35 (80.8%) HF,RP,OC,TR,CP ¦ 12 των 34 (3.8%) ¦ 2134 (3.2%) ¦ 3412 אA,B,C (5.4%) NU ¦ των 3412 (2.5%) ¦ 1 των 342 (2.7%) ¦ four other variants D (1.6%) * **3:22** μωυσης **f**35 A,B,C,D [70%] OC,NU ¦ μωσης א [30%] HF,RP,TR,CP † **3:22** γαρ προς τους πατερας ειπεν **f**35 (80.8%) HF,RP,OC,TR,CP ¦ 5234 (5.9%) ¦ 1234 ημων 5 (4.3%) ¦ 1234 υμων 5 (2%) ¦ 5234 ημων D (2.7%) ¦ 1234 (0.2%) ¦ 5 אA,B,C (4.1%) NU ‡ **3:22** ημων **f**35 אC [60%] HF,RP ¦ υμων A,D [40%] OC,TR,CP,NU ¦ — B § **3:22** ακουσεσθε *rell* ¦ ακουσεσθαι C,D [10%] * **3:22** λαλησῃ *rell* ¦ λαλησει C [10%]

ἥτις ἂν† μὴ ἀκούσῃ τοῦ Προφήτου ἐκείνου ἐξολοθρευθήσεται‡ ἐκ τοῦ λαοῦ.›
24 »Καὶ πάντες δὲ οἱ προφῆται, ἀπὸ Σαμουὴλ καὶ τῶν καθεξῆς, ὅσοι ἐλάλησαν, καὶ προκατήγγειλαν§ τὰς ἡμέρας ταύτας. 25 Ὑμεῖς
ἐστε* υἱοὶ τῶν προφητῶν, καὶ τῆς διαθήκης ἧς διέθετο ὁ Θεὸς πρὸς τοὺς πατέρας ἡμῶν,† λέγων πρὸς Ἀβραάμ, ‹Καὶ ἐν‡ τῷ σπέρματί σου ἐνευλογηθήσονται§ πᾶσαι αἱ πατριαὶ τῆς
γῆς.› 26 Ὑμῖν πρῶτον ὁ Θεός, ἀναστήσας* τὸν Παῖδα αὐτοῦ Ἰησοῦν,† ἀπέστειλεν αὐτὸν εὐλογοῦντα ὑμᾶς, ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν πονηριῶν ὑμῶν.»

# 4

## *Peter and John arrested*

1 Λαλούντων δὲ αὐτῶν πρὸς τὸν λαόν, ἐπέστησαν αὐτοῖς οἱ ἱερεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ Σαδδουκαῖοι, 2 διαπονούμενοι
διὰ τὸ διδάσκειν αὐτοὺς τὸν λαὸν καὶ

---

† **3:23** αν **f**[35] B,D [35%] TR ¦ εαν ℵA,C [65%] HF,RP,OC,CP,NU ‡ **3:23** εξολοθρευθησεται **f**[35] ℵ [99%] HF,RP,OC,TR,CP ¦ εξολεθρευθησεται A,B,C,D [1%] NU § **3:24** προκατηγγειλαν **f**[35] [25%] TR ¦ κατηγγειλαν (ℵ)A,B,C(D) [75%] HF,RP,OC,CP,NU * **3:25** εστε **f**[35] D [75%] HF,RP,OC,TR,CP ¦ 1 οι ℵA,B,C,0165 [25%] NU † **3:25** ημων **f**[35] ℵC,D,0165 [88%] HF,RP,OC,TR,CP ¦ υμων A,B [12%] NU ‡ **3:25** εν *rell* ¦ — 0165 [5%] TR § **3:25** ενευλογηθησονται **f**[35] ℵD,0165 [95%] HF,RP,OC,TR,CP[NU] ¦ επευλογηθησονται C ¦ ευλογηθησονται A,B [2%] * **3:26** ο θεος αναστησας **f**[35] A,D [87%] HF,RP,OC,TR,CP ¦ 312 ℵB,C,0165 [3%] NU ¦ 3 [10%] † **3:26** ιησουν **f**[35] A [96%] HF,RP,OC,TR,CP ¦ — ℵB,C,D,0165 [4%] NU

καταγγέλλειν* ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν
τῶν† νεκρῶν. 3 Καὶ ἐπέβαλον‡ αὐτοῖς τὰς
χεῖρας καὶ ἔθεντο§ εἰς τήρησιν εἰς τὴν
αὔριον, ἦν γὰρ ἑσπέρα ἤδη. 4 (Πολλοὶ
δὲ τῶν ἀκουσάντων τὸν λόγον ἐπίστευσαν,
καὶ ἐγενήθη ὁ * ἀριθμὸς τῶν ἀνδρῶν ὡσεὶ†
χιλιάδες πέντε.) 5 Ἐγένετο δὲ ἐπὶ τὴν
αὔριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας,
καὶ‡ πρεσβυτέρους καὶ§ γραμματεῖς, ἐν*
Ἱερουσαλήμ, 6 καὶ Ἄνναν τὸν ἀρχιερέα, καὶ
Καϊάφαν καὶ Ἰωάννην καὶ Ἀλέξανδρον,† καὶ
ὅσοι ἦσαν ἐκ γένους ἀρχιερατικοῦ. 7 Καὶ
στήσαντες αὐτοὺς ἐν‡ μέσῳ ἐπυνθάνοντο· «Ἐν
ποίᾳ δυνάμει, ἢ ἐν ποίῳ ὀνόματι ἐποιήσατε
τοῦτο ὑμεῖς;»

### *Peter's defense*

8 Τότε Πέτρος, πλησθεὶς Πνεύματος
Ἁγίου, εἶπεν πρὸς αὐτούς· «Ἄρχοντες τοῦ

---

* **4:2** καταγγελλειν *rell* ¦ καταγγελειν CP † **4:2** των **f**35 D,0165 [90%] HF,RP,OC,CP ¦ την εκ ℵA,B,C [10%] TR,NU ‡ **4:3** επεβαλον *rell* ¦ επεβαλλον [12%] ¦ επειβαλοντες D § **4:3** εθεντο *rell* ¦ 1 αυτους A,C [10%] * **4:4** ο **f**35 A [99%] HF,RP,OC,TR,CP[NU] ¦ — ℵB(D)0165 [1%] † **4:4** ωσει **f**35 [96%] HF,RP,OC,TR,CP ¦ ως B,D,0165 [2%] [NU] ¦ — ℵA [2%] ‡ **4:5** και **f**35 [85%] HF,RP,TR,CP ¦ 1 τους ℵA,B,0165 [15%] OC,NU ¦ 1 οι D § **4:5** και **f**35 D,0165 [96%] HF,RP,OC,TR,CP ¦ 1 τους ℵA,B [4%] NU * **4:5** εν **f**35 A,B,D [30%] NU ¦ εις ℵ0165 [70%] HF,RP,OC,TR,CP † **4:6** ανναν τον αρχιερεα και καιαφαν και ιωαννην και αλεξανδρον **f**35 [97%] HF,RP,OC,TR,CP ¦ αννας ο αρχιερευς και καιαφας και ιωαννης και αλεξανδρος ℵA,B(D)(0165) [3%] NU ‡ **4:7** εν **f**35 D,0165 [90%] HF,RP,CP ¦ 1 τω ℵA,B [10%] OC,TR,NU

λαοῦ καὶ πρεσβύτεροι τοῦ Ἰσραήλ·§ 9 Εἰ
ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ
ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος σέσωσται,*
10 γνωστὸν ἔστω πᾶσιν ὑμῖν, καὶ παντὶ τῷ
λαῷ Ἰσραήλ, ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ
τοῦ Ναζωραίου, ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν
ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ οὗτος
παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής. 11 Οὗτός
ἐστιν ‹ὁ λίθος ὁ ἐξουθενηθεὶς ὑφ᾽ ὑμῶν, τῶν
οἰκοδομούντων,† ὁ γενόμενος εἰς κεφαλὴν
γωνίας.› 12 Καί, οὐκ ἔστιν ἐν ἄλλῳ‡ οὐδενὶ ἡ
σωτηρία, οὐδὲ§ γὰρ ὄνομα ἕτερόν ἐστιν* ὑπὸ
τὸν οὐρανόν,† τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν
ᾧ δεῖ σωθῆναι ἡμᾶς.»

### *Rulers impressed*

13 Θεωροῦντες δὲ τὴν τοῦ Πέτρου παρρησίαν
καὶ Ἰωάννου, καὶ καταλαβόμενοι ὅτι
ἄνθρωποι ἀγράμματοί εἰσιν καὶ ἰδιῶται,
ἐθαύμαζον· ἐπεγίνωσκόν τε αὐτοὺς ὅτι σὺν τῷ
Ἰησοῦ ἦσαν. 14 Τὸν δὲ‡ ἄνθρωπον βλέποντες

---

§ **4:8** του ισραηλ $\mathbf{f}^{35}$ D (97.3%) HF,RP,OC,TR,CP ¦ 1 λαου (0.5%) ¦ 1 λαου 2 (0.5%) ¦ — אA,B,0165 (1.8%) NU * **4:9** σεσωσται $\mathbf{f}^{35}$ B,D,0165 [98%] HF,RP,OC,TR,CP ¦ σεσωται אA [1%] NU ¦ σεσωστε [1%] † **4:11** οικοδομουντων $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ οικοδομων אA,B,D,0165 [5%] NU ‡ **4:12** αλλω *rell* ¦ 1 εν [10%] CP § **4:12** ουδε $\mathbf{f}^{35}$ אA,B,0165 [30%] OC,NU ¦ ουτε [70%] HF,RP,TR ¦ ουδεν CP ¦ ου D * **4:12** ονομα ετερον εστιν $\mathbf{f}^{35}$ A,0165 [20%] CP ¦ 132 B [80%] HF,RP,OC,TR,NU ¦ 213 א ¦ 321 D † **4:12** υπο τον ουρανον $\mathbf{f}^{35}$ אA,B,D,0165 [40%] HF,OC,TR,CP,NU ¦ — [60%] RP ‡ **4:14** δε $\mathbf{f}^{35}$ [75%] HF,RP,OC,TR,CP ¦ τε אA,B [25%] NU ¦ — D

σὺν αὐτοῖς ἑστῶτα§ τεθεραπευμένον, οὐδὲν
εἶχον ἀντειπεῖν. 15 Κελεύσαντες δὲ αὐτοὺς
ἔξω τοῦ συνεδρίου ἀπελθεῖν συνέβαλλον*
πρὸς ἀλλήλους 16 λέγοντες· «Τί ποιήσομεν†
τοῖς ἀνθρώποις τούτοις; Ὅτι μὲν γὰρ γνωστὸν
σημεῖον γέγονεν δι᾽ αὐτῶν, πᾶσιν τοῖς
κατοικοῦσιν Ἱερουσαλὴμ φανερόν, καὶ οὐ
δυνάμεθα ἀρνήσασθαι.‡ 17 Ἀλλ᾽ ἵνα μὴ ἐπὶ
πλεῖον διανεμηθῇ εἰς τὸν λαόν, ἀπειλῇ§
ἀπειλησώμεθα* αὐτοῖς† μηκέτι λαλεῖν ἐπὶ
τῷ ὀνόματι τούτῳ μηδενὶ ἀνθρώπῳ.»‡

### *They are forbidden to use the name 'Jesus'*

18 Καὶ καλέσαντες αὐτούς, παρήγγειλαν
αὐτοῖς§ τὸ καθόλου μὴ φθέγγεσθαι μηδὲ
διδάσκειν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ. 19 Ὁ
δὲ Πέτρος καὶ Ἰωάννης ἀποκριθέντες πρὸς
αὐτοὺς εἶπον·* «Εἰ δίκαιόν ἐστιν ἐνώπιον
τοῦ Θεοῦ ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ Θεοῦ,

---

§ **4:14** εστωτα **f**35 [20%] ¦ 1 τον אA,B,D [80%] HF,RP,OC,TR,CP,NU [Verse 14 begins with the article, so it is superfluous here.] * **4:15** συνεβαλλον **f**35 אA,B [95%] HF,RP,OC,NU ¦ συνεβαλον D [5%] CP,TR † **4:16** ποιησομεν **f**35 D [70%] RP,OC,TR,CP ¦ ποιησωμεν אA,B [30%] HF,NU ‡ **4:16** αρνησασθαι **f**35 [97%] HF,RP,OC,TR,CP ¦ αρνεισθαι (אA)B(D) [3%] NU § **4:17** απειλη **f**35 [97%] HF,RP,OC,TR,CP ¦ — אA,B,D [3%] NU * **4:17** απειλησωμεθα **f**35 אA,B [60%] HF,OC,TR,CP,NU ¦ απειλησομεθα (D) [40%] RP † **4:17** αυτοις *rell* ¦ αυτους [12%] ¦ ουτοις D ‡ **4:17** ανθρωπω **f**35 [35%] CP ¦ ανθρωπων אA,B [65%] HF,RP,OC,TR,NU § **4:18** αυτοις **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — אA,B,D,0165V [5%] NU * **4:19** προς αυτους ειπον **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 312 אA,D [4%] NU ¦ ειπαν 12 B [1%] ¦ ειπεν 12 0165

κρίνατε. 20 Οὐ δυνάμεθα γὰρ ἡμεῖς, ἃ εἴδομεν†
καὶ ἃ ‡ ἠκούσαμεν, μὴ λαλεῖν.» 21 Οἱ δὲ
προσαπειλησάμενοι ἀπέλυσαν αὐτούς, μηδὲν
εὑρίσκοντες τὸ πῶς κολάσονται§ αὐτούς, διὰ
τὸν λαόν, ὅτι πάντες ἐδόξαζον τὸν Θεὸν
ἐπὶ τῷ γεγονότι· 22 ἐτῶν γὰρ ἦν πλειόνων
τεσσαράκοντα* ὁ ἄνθρωπος ἐφ᾽ ὃν ἐγεγόνει†
τὸ σημεῖον τοῦτο τῆς ἰάσεως.

## *The reaction of the believers*

23 Ἀπολυθέντες δὲ ἦλθον πρὸς τοὺς
ἰδίους καὶ ἀνήγγειλαν‡ ὅσα πρὸς αὐτοὺς
οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι εἶπον.§ 24 Οἱ
δὲ ἀκούσαντες ὁμοθυμαδὸν ἦραν φωνὴν πρὸς
τὸν Θεὸν καὶ εἶπον·* «Δέσποτα, σὺ ὁ Θεός,†
ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν
θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς· 25 ὁ‡ διὰ§

---

† **4:20** ειδομεν *rell* ¦ ειδαμεν ℵA,B(D) [2%] NU ¦ ειδωμεν [10%] ‡ **4:20** α **f**35 [20%] ¦ — ℵA,B,D [80%] HF,RP,OC,TR,CP,NU [What they saw and what they heard were not the same things.] § **4:21** κολασονται **f**35 [98%] HF,RP,OC,CP ¦ κολασωνται ℵA,D [2%] TR,NU ¦ κολασωσιν B * **4:22** τεσσαρακοντα **f**35 [98%] HF,RP,OC,TR,CP ¦ τεσσερακοντα ℵA,B [2%] NU † **4:22** εγεγονει **f**35 ℵA [99%] HF,RP,OC,TR,CP ¦ γεγονει B,D [1%] NU ‡ **4:23** ανηγγειλαν **f**35 (א) [25%] ¦ απηγγειλαν A,B [75%] HF,RP,OC,TR,CP,NU § **4:23** ειπον *rell* ¦ ειπαν ℵB,D [2%] NU * **4:24** ειπον *rell* ¦ ειπαν ℵA,B,D [10%] NU † **4:24** ο θεος **f**35 D [98%] HF,RP,TR,CP ¦ — ℵA,B [2%] OC,NU ‡ **4:25** ο **f**35 (D) (91.9%) HF,RP,OC,TR,CP ¦ 1 του πατρος ημων ℵA,B (8.1%) NU § **4:25** δια **f**35 (91.3%) HF,RP,OC,TR,CP ¦ 1 πνευματος αγιου ℵA,B(D) (8.3%) NU ¦ two other readings (0.4%)

στόματος Δαυὶδ* παιδός σου εἰπών· ‹Ἵνα τί
ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά;
26 Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ
ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό, κατὰ
τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.›
27 Συνήχθησαν γὰρ ἐπ᾽ ἀληθείας† ἐπὶ τὸν
ἅγιον Παῖδά σου Ἰησοῦν, ὃν ἔχρισας, Ἡρῴδης
τε καὶ Πόντιος Πιλᾶτος, σὺν ἔθνεσιν καὶ
λαοῖς Ἰσραήλ, 28 ποιῆσαι ὅσα ἡ χείρ σου καὶ
ἡ βουλή σου‡ προώρισεν γενέσθαι. 29 Καὶ τὰ
νῦν, Κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, καὶ
δὸς τοῖς δούλοις σου μετὰ παρρησίας πάσης
λαλεῖν τὸν λόγον σου, 30 ἐν τῷ τὴν χεῖρά
σου ἐκτείνειν σε§ εἰς ἴασιν, καὶ σημεῖα καὶ
τέρατα γίνεσθαι διὰ τοῦ ὀνόματος τοῦ ἁγίου
Παιδός σου Ἰησοῦ.» 31 Καὶ δεηθέντων αὐτῶν,
ἐσαλεύθη ὁ τόπος ἐν ᾧ ἦσαν συνηγμένοι, καὶ
ἐπλήσθησαν ἅπαντες Πνεύματος Ἁγίου* καὶ
ἐλάλουν τὸν λόγον τοῦ Θεοῦ μετὰ παρρησίας.

## The young Church consolidates

32 Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ

* **4:25** δαυιδ **f**[35] אA,B,D (74.7%) HF,RP,OC,NU ¦ 1 του (25.1%) CP(TR) ¦ one other reading (0.2%) † **4:27** αληθειας **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ 1 εν τη πολει (+σου A) ταυτη (א)(A)B,D [10%] NU ‡ **4:28** σου **f**[35] אD [98%] HF,RP,OC,TR,CP[NU] ¦ — A,B [2%] § **4:30** την χειρα σου εκτεινειν σε **f**[35] (א) [85%] HF,RP,OC,TR[NU] ¦ 1234 D [13%] CP ¦ 1245 B ¦ 1254 A [1%] ¦ 4123 σου 𝔓[45] * **4:31** πνευματος αγιου **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ του 21 𝔓[8]אA,B,D [3%] NU ¦ του 1 του 2 𝔓[45]

† καρδία καὶ ἡ ‡ ψυχὴ μία· καὶ οὐδὲ εἷς τι
τῶν ὑπαρχόντων αὐτῷ§ ἔλεγεν ἴδιον εἶναι,
ἀλλ’ ἦν αὐτοῖς ἅπαντα κοινά. 33 (Καὶ
δυνάμει μεγάλῃ* ἀπεδίδουν οἱ ἀπόστολοι
τὸ μαρτύριον† τῆς ἀναστάσεως τοῦ Κυρίου
Ἰησοῦ.)‡ Χάρις τε μεγάλη ἦν ἐπὶ πάντας
αὐτούς, 34 οὐδὲ γὰρ ἐνδεής τις ἦν§ ἐν
αὐτοῖς—ὅσοι γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν
ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν
πιπρασκομένων 35 καὶ ἐτίθουν παρὰ τοὺς
πόδας τῶν ἀποστόλων· διεδίδοτο* δὲ ἑκάστῳ
καθότι ἄν† τις χρείαν εἶχεν.
36 Ἰωσῆς‡ δέ, ὁ ἐπικληθεὶς Βαρνάβας ἀπὸ§
τῶν ἀποστόλων (ὅ ἐστιν, μεθερμηνευόμενον,
‹Υἱὸς παρακλήσεως›), Λευΐτης, Κύπριος τῷ

---

† **4:32** η **f**$^{35}$ [98%] HF,RP,OC,TR,CP ¦ — 𝔓$^{8}$אA,B,D [2%] NU
‡ **4:32** η **f**$^{35}$ [98%] HF,RP,OC,TR,CP ¦ — 𝔓$^{8}$אA,B,D [2%] NU
§ **4:32** αυτω **f**$^{35}$ אA,B [64%] HF,OC,TR,CP,NU ¦ αυτων [35%] RP ¦ αυτου 𝔓$^{8}$D [1%] * **4:33** δυναμει μεγαλη **f**$^{35}$ 𝔓$^{8}$(א)A,B,D [20%] NU ¦ 21 𝔓$^{45v}$ [80%] HF,RP,OC,TR,CP † **4:33** οι αποστολοι το μαρτυριον **f**$^{35}$ A [30%] ¦ 3412 𝔓$^{8,45v}$אB,D [70%] HF,RP,OC,TR,CP,NU ‡ **4:33** του κυριου ιησου **f**$^{35}$ 𝔓$^{8}$(B) (79.9%) HF,RP,OC,TR,NU ¦ 123 χριστου D (16.1%) CP ¦ 3 χριστου 12 אA (0.9%) ¦ 3 χριστου 12 ημων (1.8%) ¦ 1 χριστου (0.7%) ¦ three other variants (0.7%) § **4:34** ην **f**$^{35}$ אA(B) (24.5%) NU ¦ υπηρχεν 𝔓$^{8}$D (74.8%) HF,RP,OC,TR,CP ¦ two other readings (0.7%) * **4:35** διεδιδοτο **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ διεδιδετο 𝔓$^{8}$אA,B,D [3%] NU † **4:35** καθοτι αν **f**$^{35}$ 𝔓$^{8}$אA,B,D [45%] HF,RP,OC,TR,CP,NU ¦ καθο [40%] ¦ καθο αν [10%] ¦ two other variants [5%] ‡ **4:36** ιωσης **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ ιωσηφ 𝔓$^{8}$אA,B,D [5%] NU § **4:36** απο **f**$^{35}$ 𝔓$^{8}$אA,B [75%] HF,RP,OC,NU ¦ υπο D [25%] CP,TR

γένει, 37 ὑπάρχοντος αὐτῷ* ἀγροῦ, πωλήσας
ἤνεγκεν τὸ χρῆμα καὶ ἔθηκεν παρὰ† τοὺς
πόδας τῶν ἀποστόλων.

# 5

## *Ananias and Sapphira*

1 Ἀνὴρ δέ τις Ἀνανίας ὀνόματι, σὺν
Σαπφείρα* τῇ γυναικὶ αὐτοῦ, ἐπώλησεν κτῆμα
2 καὶ ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς,† συνειδυίας‡
καὶ τῆς γυναικὸς αὐτοῦ·§ καὶ ἐνέγκας μέρος
τι παρὰ τοὺς πόδας τῶν ἀποστόλων ἔθηκεν.
3 Εἶπεν δὲ* Πέτρος· «Ἀνανία, διὰ τί ἐπλήρωσεν
ὁ Σατανᾶς τὴν καρδίαν σου ψεύσασθαί σε
τὸ Πνεῦμα τὸ Ἅγιον καὶ νοσφίσασθαι σε†
ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; 4 Οὐχὶ μένον
σοὶ ἔμενεν, καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ
ὑπῆρχεν; Τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου τὸ
πρᾶγμα τοῦτο; Οὐκ ἐψεύσω ἀνθρώποις ἀλλὰ
τῷ Θεῷ.» 5 Ἀκούων δὲ ὁ ‡ Ἀνανίας τοὺς λόγους
τούτους, πεσὼν ἐξέψυξεν. (Καὶ ἐγένετο φόβος

---

* **4:37** αυτω *rell* ¦ αυτου [20%] CP † **4:37** παρα **f**[35] 𝔓[8,57]A,B,D [98%] HF,RP,OC,TR,CP ¦ προς א [2%] NU * **5:1** σαπφειρα **f**[35] B [40%] ¦ σαπφειρη A [56%] HF,RP,OC,TR,CP ¦ σαπφιρη NU ¦ σαμφιρη א ¦ σαφφυρα D ¦ five further spellings [3%] (One minuscule saves NU from being a patchwork quilt.) † **5:2** τιμης *rell* ¦ 1 του κτηματος [12%] ‡ **5:2** συνειδυιας **f**[35] D [96%] HF,RP,OC,TR,CP ¦ συνειδυιης NU ¦ συνιδυιης A,B [1%] ¦ συνιδυης א ¦ four further spellings [3%] § **5:2** αυτου **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ — אA,B(D) [3%] NU * **5:3** δε **f**[35] D [96%] HF,RP,OC,TR,CP ¦ 1 ο 𝔓[8]אA,B [4%] NU † **5:3** σε **f**[35] D [85%] HF,RP ¦ — 𝔓[8]אA,B [15%] OC,TR,CP,NU ‡ **5:5** ο *rell* ¦ — D [25%] TR

μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα.)§
6 Ἀναστάντες δὲ οἱ νεώτεροι συνέστειλαν
αὐτὸν καὶ ἐξενέγκαντες ἔθαψαν.
7 Ἐγένετο δὲ ὡς ὡρῶν τριῶν διάστημα,
καὶ ἡ γυνὴ αὐτοῦ, μὴ εἰδυῖα τὸ γεγονός,
εἰσῆλθεν. 8 Ἀπεκρίθη δὲ αὐτῇ* ὁ † Πέτρος,
«Εἰπέ μοι εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε.»
Ἡ δὲ εἶπεν, «Ναί, τοσούτου.» 9 Ὁ δὲ
Πέτρος εἶπεν‡ πρὸς αὐτήν· «Τί ὅτι συνεφωνήθη
ὑμῖν πειράσαι τὸ Πνεῦμα Κυρίου; Ἰδού, οἱ
πόδες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ
τῇ θύρᾳ, καὶ ἐξοίσουσίν σε.» 10 Ἔπεσεν
δὲ παραχρῆμα παρὰ§ τοὺς πόδας αὐτοῦ καὶ
ἐξέψυξεν· εἰσελθόντες δὲ οἱ νεανίσκοι εὗρον
αὐτὴν νεκράν, καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς
τὸν ἄνδρα αὐτῆς. 11 Καὶ ἐγένετο φόβος μέγας
ἐφ᾽ ὅλην τὴν ἐκκλησίαν καὶ ἐπὶ πάντας τοὺς
ἀκούοντας ταῦτα.

### *The Apostles distinguish themselves*

12 Διὰ δὲ τῶν χειρῶν τῶν ἀποστόλων
ἐγένετο* σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ
πολλά·† καὶ ἦσαν ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ

---

§ **5:5** ταυτα **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ — 𝔭[8]אA,B,D [3%] NU * **5:8** αυτη **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ προς αυτην 𝔭[8]אA,B,D [4%] NU ¦ two other variants [1%] † **5:8** ο **f**[35] 𝔭[8v]D [97%] HF,RP,OC,TR,CP ¦ — אA,B [3%] NU ‡ **5:9** ειπεν **f**[35] A [97%] HF,RP,OC,TR,CP ¦ — 𝔭[8]אB,D [3%] NU § **5:10** παρα **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ προς אA,B,D [2%] NU * **5:12** εγενετο **f**[35] [44%] TR ¦ εγινετο א [55%] HF,RP,OC,CP,NU ¦ εγεινετο A,B,D [1%] † **5:12** εν τω λαω πολλα **f**[35] [85%] HF,RP,OC,TR,CP ¦ 4123 𝔭[45]אA,B,D [5%] NU ¦ μεγαλα 123 [10%]

Στοᾷ Σολομῶνος.‡ 13 Τῶν δὲ λοιπῶν οὐδεὶς
ἐτόλμα κολλᾶσθαι αὐτοῖς, ἀλλ᾽ ἐμεγάλυνεν
αὐτοὺς ὁ λαός. 14 Μᾶλλον δὲ προσετίθεντο
πιστεύοντες τῷ Κυρίῳ, πλήθη§ ἀνδρῶν τε
καὶ γυναικῶν, 15 ὥστε κατὰ* τὰς πλατείας
ἐκφέρειν τοὺς ἀσθενεῖς καὶ τιθέναι ἐπὶ
κλινῶν† καὶ κραββάτων,‡ ἵνα ἐρχομένου τοῦ§
Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ* τινὶ αὐτῶν.
16 Συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ
πόλεων εἰς† Ἱερουσαλήμ, φέροντες ἀσθενεῖς
καὶ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων,
καὶ‡ ἐθεραπεύοντο ἅπαντες.

### *Sadducees vs Apostles*

17 Ἀναστὰς δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ
σὺν αὐτῷ (ἡ οὖσα αἵρεσις τῶν Σαδδουκαίων)·§
ἐπλήσθησαν ζήλου 18 καὶ ἐπέβαλον τὰς χεῖρας
αὐτῶν* ἐπὶ τοὺς ἀποστόλους καὶ ἔθεντο
αὐτοὺς ἐν τηρήσει δημοσίᾳ. 19 Ἄγγελος δὲ

---

‡ **5:12** σολομωνος **f**35 B,D [75%] CP ¦ σολομωντος 𝔭45A [25%] HF,RP,OC,TR,NU ¦ σαλομωντος א § **5:14** πληθη *rell* ¦ πληθος [12%] * **5:15** κατα **f**35 D [96%] HF,RP,OC,TR,CP ¦ και εις אA,B [4%] NU † **5:15** κλινων **f**35 [97%] HF,RP,OC,TR,CP ¦ κλιναριων אA,B,D [3%] NU ‡ **5:15** κραββατων **f**35 [80%] HF,RP,TR,CP ¦ κραβαττων אA,B,D [5%] OC,NU ¦ κραβατων [15%] § **5:15** του **f**35 [30%] ¦ — 𝔭45אA,B,D [70%] HF,RP,OC,TR,CP,NU * **5:15** επισκιαση *rell* ¦ επισκιασει B [15%] † **5:16** εις **f**35 D [95%] HF,RP,OC,TR,CP ¦ — אA,B [2%] NU ¦ εν [3%] ‡ **5:16** και **f**35 D [20%] ¦ οιτινες אA,B [80%] HF,RP,OC,TR,CP,NU § **5:17** σαδδουκαιων *rell* ¦ σαδδουκαιον CP * **5:18** αυτων **f**35 [97%] HF,RP,OC,TR,CP ¦ — 𝔭45אA,B,D [3%] NU

Κυρίου διὰ τῆς† νυκτὸς ἤνοιξεν‡ τὰς θύρας
τῆς φυλακῆς, ἐξαγαγών τε αὐτοὺς εἶπεν,
20 «Πορεύεσθε, καὶ σταθέντες λαλεῖτε ἐν τῷ
ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς
ταύτης.» 21 Ἀκούσαντες δὲ εἰσῆλθον ὑπὸ τὸν
ὄρθρον εἰς τὸ ἱερὸν καὶ ἐδίδασκον.

Παραγενόμενος δὲ ὁ ἀρχιερεὺς καὶ οἱ
σὺν αὐτῷ, συνεκάλεσαν τὸ συνέδριον, καὶ
πᾶσαν τὴν γερουσίαν τῶν υἱῶν Ἰσραήλ,
καὶ ἀπέστειλαν εἰς τὸ δεσμωτήριον ἀχθῆναι
αὐτούς. 22 Οἱ δὲ παραγενόμενοι ὑπηρέται§ οὐχ
εὗρον αὐτοὺς ἐν τῇ φυλακῇ, ἀναστρέψαντες
δὲ ἀπήγγειλαν, 23 λέγοντες ὅτι «Τὸ μὲν*
δεσμωτήριον εὕρομεν κεκλεισμένον ἐν†
πάσῃ ἀσφαλείᾳ, καὶ τοὺς φύλακας‡ ἑστῶτας
πρὸ§ τῶν θυρῶν, ἀνοίξαντες δὲ ἔσω οὐδένα
εὕρομεν.»* 24 Ὡς δὲ ἤκουσαν τοὺς λόγους
τούτους ὅ τε ἱερεὺς καὶ ὁ † στρατηγὸς τοῦ
ἱεροῦ καὶ οἱ ἀρχιερεῖς,‡ διηπόρουν περὶ αὐτῶν
τί ἂν γένοιτο τοῦτο.

25 Παραγενόμενος δέ τις ἀπήγγειλεν

† **5:19** της **f**35 [97%] HF,RP,OC,TR,CP ¦ — אA,B(D) [3%] NU ‡ **5:19** ηνοιξεν **f**35 B [99%] HF,RP,OC,TR,CP ¦ ανοιξας אA [1%] NU ¦ ανεωξαν D § **5:22** παραγενομενοι υπηρεται **f**35 אA,B [20%] NU ¦ 21 D [80%] HF,RP,OC,TR,CP * **5:23** μεν **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — אA,B,D [5%] NU † **5:23** εν *rell* ¦ επι CP ‡ **5:23** φυλακας *rell* ¦ 1 εξω TR § **5:23** προ **f**35 [97%] HF,RP,OC,TR,CP ¦ επι אA,B,D [3%] NU * **5:23** ευρομεν *rell* ¦ ευρωμεν [12%] ¦ two other variants † **5:24** ιερευς και ο **f**35 (85.7%) HF,RP,OC,TR ¦ αρχιερευς 23 (4.2%) CP ¦ — אA,B,D (9.3%) NU ¦ two other variants (0.9%) ‡ **5:24** αρχιερεις *rell* ¦ αρχιερευς CP

αὐτοῖς§ ὅτι «Ἰδού, οἱ ἄνδρες οὓς ἔθεσθε
ἐν τῇ φυλακῇ εἰσὶν ἐν τῷ ἱερῷ ἑστῶτες καὶ
διδάσκοντες τὸν λαόν.» 26 Τότε ἀπελθὼν
ὁ στρατηγὸς σὺν τοῖς ὑπηρέταις ἤγαγεν*
αὐτούς, οὐ μετὰ βίας, ἐφοβοῦντο γὰρ τὸν
λαόν, ἵνα† μὴ λιθασθῶσιν. 27 Ἀγαγόντες
δὲ αὐτοὺς ἔστησαν ἐν τῷ συνεδρίῳ· καὶ
ἐπηρώτησεν αὐτοὺς ὁ ἀρχιερεὺς 28 λέγων·
«Οὐ‡ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ
διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ; Καὶ ἰδού,
πεπληρώκατε τὴν Ἱερουσαλὴμ τῆς διδαχῆς
ὑμῶν, καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ᾽ ἡμᾶς τὸ
αἷμα τοῦ ἀνθρώπου τούτου.»

### *Apostles infuriate Sadducees*

29 Ἀποκριθεὶς δὲ§ Πέτρος καὶ οἱ ἀπόστολοι
εἶπον·* «Πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ
ἀνθρώποις. 30 Ὁ Θεὸς τῶν πατέρων ἡμῶν
ἤγειρεν Ἰησοῦν, ὃν ὑμεῖς διεχειρίσασθε†
κρεμάσαντες ἐπὶ ξύλου. 31 Τοῦτον ὁ Θεὸς
Ἀρχηγὸν καὶ Σωτῆρα ὕψωσεν τῇ δεξιᾷ
αὐτοῦ,‡ δοῦναι μετάνοιαν τῷ Ἰσραήλ, καὶ
ἄφεσιν ἁμαρτιῶν. 32 Καὶ ἡμεῖς ἐσμεν αὐτοῦ§

---

§ **5:25** αυτοις *rell* ¦ 1 λεγων [5%] TR,CP * **5:26** ηγαγεν **f**35 A,D [99%] HF,RP,OC,TR,CP ¦ ηγεν אB [1%] NU † **5:26** ινα **f**35 A [97%] HF,RP,OC,TR,CP ¦ — אB,D [3%] NU ‡ **5:28** ου **f**35 D [98%] HF,RP,OC,TR,CP[NU] ¦ — אA,B [2%] § **5:29** δε *rell* ¦ 1 ο (D) [10%] TR * **5:29** ειπον *rell* ¦ ειπαν אA,B [2%] NU ¦ ειπεν D † **5:30** διεχειρισασθε *rell* ¦ διεχειρησασθε [13%] CP ¦ six other variants אA,D [3%] ‡ **5:31** αυτου **f**35 A [99.5%] HF,RP,OC,TR,CP ¦ 1 του אB[NU] § **5:32** εσμεν αυτου **f**35 [91%] HF,RP,OC,TR,CP ¦ εν αυτω B ¦ 1 א(A)D [7%] NU ¦ four other variants [2%]

μάρτυρες τῶν ῥημάτων τούτων, καὶ τὸ
Πνεῦμα δὲ* τὸ Ἅγιον ὃ ἔδωκεν ὁ Θεὸς τοῖς
πειθαρχοῦσιν αὐτῷ.»

### *Gamaliel counsels Sadducees*

33 Οἱ δὲ ἀκούοντες† διεπρίοντο καὶ
ἐβουλεύοντο‡ ἀνελεῖν αὐτούς. 34 Ἀναστὰς
δέ τις ἐν τῷ συνεδρίῳ (Φαρισαῖος ὀνόματι
Γαμαλιήλ, νομοδιδάσκαλος τίμιος παντὶ
τῷ λαῷ), ἐκέλευσεν ἔξω βραχύ τι§ τοὺς
ἀποστόλους*,† ποιῆσαι. 35 Εἶπέν τε πρὸς
αὐτούς· «Ἄνδρες Ἰσραηλῖται, προσέχετε
ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις τούτοις, τί
μέλλετε πράσσειν. 36 Πρὸ γὰρ τούτων τῶν
ἡμερῶν ἀνέστη Θευδᾶς, λέγων εἶναί τινα
ἑαυτόν·‡ ᾧ προσεκλίθη§ ἀριθμὸς ἀνδρῶν* ὡς†
τετρακοσίων· ὃς ἀνῃρέθη, καὶ πάντες ὅσοι
ἐπείθοντο αὐτῷ διελύθησαν καὶ ἐγένοντο
εἰς οὐδέν. 37 Μετὰ τοῦτον ἀνέστη Ἰούδας ὁ
Γαλιλαῖος, ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς,

---

* **5:32** δε **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ — 𝔭$^{45}$אA,B,D [4%] NU
† **5:33** ακουοντες **f**$^{35}$ 𝔭$^{45}$ [32%] RP ¦ ακουσαντες אA,B,D [68%] HF,OC,TR,CP,NU ‡ **5:33** εβουλευοντο **f**$^{35}$ אD [80%] HF,RP,OC,TR,CP ¦ εβουλοντο A,B [16%] NU ¦ two other variants [4%] § **5:34** τι **f**$^{35}$ [60%] HF,RP,OC,TR,CP ¦ — אA,B,D [40%] NU * **5:34** αποστολους **f**$^{35}$ (D) (98.7%) HF,RP,OC,TR,CP ¦ ανθρωπους (𝔭$^{45}$)אA,B (1.1%) NU ¦ conflation (0.2%) † **5:34** βραχυ τι τους αποστολους *rell* ¦ 3412 [35%] ‡ **5:36** εαυτον *rell* ¦ 1 μεγαν (D) [3%] CP § **5:36** προσεκλιθη **f**$^{35}$ אA,B [30%] OC,NU ¦ προσεκληθη D [54%] HF,RP,CP ¦ προσεκληθησαν C [1%] ¦ προσεκολληθη [15%] TR * **5:36** αριθμος ανδρων **f**$^{35}$ D [95%] HF,RP,OC,TR,CP ¦ 21 אA,B,C [5%] NU † **5:36** ως **f**$^{35}$ A,B,C,D [20%] NU ¦ ωσει א [80%] HF,RP,OC,TR,CP

καὶ ἀπέστησεν λαὸν ἱκανὸν‡ ὀπίσω αὐτοῦ.
Κἀκεῖνος ἀπώλετο, καὶ πάντες ὅσοι ἐπείθοντο
αὐτῷ διεσκορπίσθησαν. 38 Καὶ τὰ νῦν λέγω
ὑμῖν, ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων
καὶ ἐάσατε§ αὐτούς· ὅτι ἐὰν ᾖ ἐξ ἀνθρώπων ἡ
βουλὴ* ἢ τὸ ἔργον τοῦτο, καταλυθήσεται· 39 εἰ
δὲ ἐκ Θεοῦ ἐστιν, οὐ δυνήσεσθε† καταλῦσαι
αὐτό‡—μήποτε καὶ θεομάχοι εὑρεθῆτε.»

### *Sadducees beat and threaten Apostles*

40 Ἐπείσθησαν δὲ αὐτῷ, καὶ
προσκαλεσάμενοι τοὺς ἀποστόλους,
δήραντες§ παρήγγειλαν μὴ λαλεῖν ἐπὶ τῷ
ὀνόματι τοῦ Ἰησοῦ, καὶ ἀπέλυσαν αὐτούς.*
41 Οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ
προσώπου τοῦ συνεδρίου, ὅτι κατηξιώθησαν
ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ† ἀτιμασθῆναι.
42 Πᾶσαν τε ἡμέραν, ἐν τῷ ἱερῷ καὶ κατ᾽

---

‡ **5:37** λαον ικανον **f**35 [86%] HF,RP,OC,TR,CP ¦ 1 אA,B [9%] NU ¦ 1 πολυν (C)D ¦ 21 [3%] ¦ two other variants [1%] § **5:38** εασατε **f**35 D [97%] HF,RP,OC,TR,CP ¦ αφετε אA,B,C [3%] NU * **5:38** βουλη **f**35 [85%] HF,RP ¦ 1 αυτη אA,B,C,D [15%] OC,TR,CP,NU † **5:39** δυνησεσθε **f**35 B [30%] NU ¦ δυνησεσθαι אC,D [2%] ¦ δυνασθε A [58%] HF,RP,OC,TR,CP ¦ δυνασθαι [10%] ‡ **5:39** αυτο **f**35 C [92%] HF,RP,OC,TR,CP ¦ αυτους אA,B(D) [5%] NU ¦ αυτω [3%] § **5:40** δηραντες **f**35 [40%] CP ¦ δειραντες אA,B,C,D [60%] HF,RP,OC,TR,NU * **5:40** αυτους **f**35 D [98%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [2%] NU † **5:41** κατηξιωθησαν υπερ του ονοματος του χριστου **f**35 [20%] ¦ 234561 [15%] ¦ 12345 ιησου [3%] CP ¦ 2345 ιησου 1 [8%] HF,RP ¦ 234 αυτου 1 [15%] OC,TR ¦ 1234 αυτου [5%] ¦ 1234 אA,B,C [3%] NU ¦ 2345 κυριου ιησου 1 [10%] ¦ 2341 D [18%] ¦ 234 ιησου 1 [3%]

οἶκον, οὐκ ἐπαύοντο‡ διδάσκοντες καὶ
εὐαγγελιζόμενοι τὸν Χριστὸν Ἰησοῦν.§

# 6

*Enter deacons*

1 Ἐν δὲ ταῖς ἡμέραις ταύταις, πληθυνόντων
τῶν μαθητῶν, ἐγένετο γογγυσμὸς τῶν
Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι
παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ
αἱ χῆραι αὐτῶν. 2 Προσκαλεσάμενοι δὲ οἱ
δώδεκα τὸ πλῆθος τῶν μαθητῶν εἶπον·*
«Οὐκ ἀρεστόν ἐστιν ἡμᾶς, καταλείψαντας
τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν τραπέζαις.
3 Ἐπισκέψασθε οὖν,† ἀδελφοί, ἄνδρας ἐξ ὑμῶν
μαρτυρουμένους ἑπτά, πλήρεις‡ Πνεύματος
Ἁγίου§ καὶ σοφίας, οὓς καταστήσομεν* ἐπὶ
τῆς χρείας ταύτης. 4 Ἡμεῖς δὲ τῇ προσευχῇ καὶ
τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν.»†
5 Καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ
πλήθους· καὶ ἐξελέξαντο Στέφανον, ἄνδρα
πλήρη‡ πίστεως καὶ Πνεύματος Ἁγίου, καὶ

---

‡ **5:42** επαυοντο *rell* ¦ επαυσαντο CP § **5:42** τον χριστον ιησουν **f**35 אA,B [25%] NU ¦ 312 [67%] HF,RP,OC,TR,CP ¦ 1 κυριον 3 C [2%] ¦ 1 κυριον 32 D ¦ 32 [6%] * **6:2** ειπον *rell* ¦ ειπαν A,B,C [2%] NU † **6:3** ουν **f**35 C [98%] HF,RP,OC,TR,CP ¦ δε אB [1%] NU ¦ δη A ¦ — D ‡ **6:3** πληρεις *rell* ¦ πληρης [15%] § **6:3** αγιου **f**35 A,C [97%] HF,RP,OC,TR,CP ¦ — 𝔭8(א)B,D [3%] NU * **6:3** καταστησομεν **f**35 𝔭8אA,B,C,D [60%] OC,TR,CP,NU ¦ καταστησωμεν [40%] HF,RP † **6:4** προσκαρτερησομεν *rell* ¦ προσκαρτερησωμεν [50%] ¦ προσκαρτερουντες D ‡ **6:5** πληρη **f**35 B [40%] OC,TR,CP ¦ πληρης אA,C,D [45%] HF,RP,NU ¦ πληρις [12%] ¦ πληρεις [3%] (The accusative is correct.)

Φίλιππον καὶ Πρόχορον§ καὶ Νικάνορα
καὶ Τίμωνα* καὶ Παρμενᾶν καὶ Νικόλαον,
προσήλυτον Ἀντιοχέα, 6 οὓς ἔστησαν ἐνώπιον
τῶν ἀποστόλων· καὶ προσευξάμενοι ἐπέθηκαν
αὐτοῖς τὰς χεῖρας.
7 Καὶ ὁ λόγος τοῦ Θεοῦ ηὔξανεν, καὶ
ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν
Ἰερουσαλὴμ σφόδρα, πολύς τε ὄχλος τῶν
ἱερέων ὑπήκουον† τῇ πίστει. 8 Στέφανος δέ,
πλήρης πίστεως‡ καὶ δυνάμεως, ἐποίει τέρατα
καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ.

### *Stephen in a kangaroo court*

9 Ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς Συναγωγῆς
τῆς λεγομένης Λιβερτίνων (καὶ Κυρηναίων§
καὶ Ἀλεξανδρέων καὶ τῶν ἀπὸ Κιλικίας καὶ
Ἀσίας), συζητοῦντες τῷ Στεφάνῳ. 10 Καὶ οὐκ
ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ Πνεύματι
ᾧ ἐλάλει.
11 Τότε ὑπέβαλον ἄνδρας λέγοντας ὅτι
«Ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα
βλάσφημα εἰς Μωσῆν* καὶ τὸν Θεόν.»
12 Συνεκίνησάν τε τὸν λαόν, καὶ τοὺς
πρεσβυτέρους καὶ τοὺς γραμματεῖς· καὶ
ἐπιστάντες συνήρπασαν αὐτὸν καὶ ἤγαγον

---

§ **6:5** προχορον *rell* ¦ προχωρον [12%] * **6:5** τιμωνα *rell* ¦ τιμονα [35%] ¦ τειμωνα B,D † **6:7** υπηκουον *rell* ¦ υπηκουεν A [14%] ¦ two other variants ‡ **6:8** πιστεως $\mathbf{f}^{35}$ (78.8%) HF,RP,OC,TR,CP ¦ χαριτος 𝔭$^{8,45v}$אA,B,D,0175 (19.7%) NU ¦ πνευματος (0.4%) ¦ four conflations (1.1%) § **6:9** κυρηναιων *rell* ¦ κυριναιων [13%] ¦ κυρυναιων A ¦ κυρηνεων D ¦ one other variant * **6:11** μωσην $\mathbf{f}^{35}$ [55%] HF,RP,TR ¦ μωυσην 𝔭$^{8}$אA,B,C,D [45%] OC,CP,NU

εἰς τὸ συνέδριον· 13 ἔστησάν τε μάρτυρας
ψευδεῖς λέγοντας· «Ὁ ἄνθρωπος οὗτος οὐ
παύεται ῥήματα βλάσφημα λαλῶν† κατὰ τοῦ
τόπου τοῦ ἁγίου‡ καὶ τοῦ νόμου· 14 ἀκηκόαμεν
γὰρ αὐτοῦ λέγοντος ὅτι Ἰησοῦς ὁ Ναζωραῖος
οὗτος καταλύσει τὸν τόπον τοῦτον καὶ
ἀλλάξει τὰ ἔθη ἃ παρέδωκεν ἡμῖν Μωσῆς.»§
15 Καὶ ἀτενίσαντες εἰς αὐτὸν ἅπαντες*
οἱ καθεζόμενοι ἐν τῷ συνεδρίῳ, εἶδον τὸ
πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου.

# 7

## *Stephen's discourse*

1 Εἶπεν δὲ ὁ ἀρχιερεύς, «Εἰ ἄρα* ταῦτα
οὕτως ἔχει;» 2 Ὁ δὲ ἔφη· «Ἄνδρες ἀδελφοὶ
καὶ πατέρες, ἀκούσατε· Ὁ Θεὸς τῆς δόξης
ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ† ὄντι ἐν τῇ
Μεσοποταμίᾳ, πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν
Χαρράν,‡ 3 καὶ εἶπεν πρὸς αὐτόν, ‹Ἔξελθε
ἐκ τῆς γῆς σου καὶ ἐκ§ τῆς συγγενείας σου,

---

† **6:13** ρηματα βλασφημα λαλων **f**$^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ 31 𝔓$^{8v,45v}$ℵB,C,0175 [3%] NU ¦ 13 A,D ¦ 312 [3%] ‡ **6:13** αγιου **f**$^{35}$ ℵA,D,0175 [90%] HF,RP,OC,CP ¦ 1 τουτου (𝔓$^{8}$)B,C [10%] TR[NU] § **6:14** μωσης **f**$^{35}$ A [60%] HF,RP,TR,CP ¦ μωυσης ℵB,C,D,0175 [40%] OC,NU * **6:15** απαντες **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ παντες ℵA,B,C,D,0175 [5%] NU * **7:1** αρα **f**$^{35}$ D [97%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C [3%] NU † **7:2** ἀβρααμ **f**$^{35}$ [50%] ¦ ἀβρααμ ℵA,B,C [50%] HF,RP,OC,TR,CP,NU ‡ **7:2** χαρραν *rell* ¦ χαραν D [20%] ¦ two other variants [1%] § **7:3** εκ **f**$^{35}$ ℵA,C [99.5%] HF,RP,OC,TR,CP[NU] ¦ — B,D

καὶ δεῦρο εἰς* γῆν ἣν ἄν σοι δείξω.› 4 Τότε
ἐξελθὼν ἐκ γῆς Χαλδαίων κατῴκησεν ἐν†
Χαρράν.‡ Κἀκεῖθεν,§ μετὰ τὸ ἀποθανεῖν
τὸν πατέρα αὐτοῦ, μετῴκισεν* αὐτὸν εἰς
τὴν γῆν ταύτην εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε·
5 καὶ οὐκ ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ,
οὐδὲ βῆμα ποδός. Καὶ ἐπηγγείλατο δοῦναι
αὐτὴν εἰς κατάσχεσιν αὐτῷ,† καὶ τῷ σπέρματι
αὐτοῦ μετ᾽ αὐτόν, οὐκ ὄντος αὐτῷ τέκνου.
6 Ἐλάλησεν δὲ οὕτως‡ ὁ Θεός· ὅτι ἔσται
τὸ σπέρμα αὐτοῦ πάροικον ἐν γῇ ἀλλοτρίᾳ
—καὶ δουλώσουσιν αὐτὸ καὶ κακώσουσιν—
ἔτη τετρακόσια. 7 ‹Καὶ τὸ ἔθνος ᾧ § ἐὰν
δουλεύσωσιν* κρινῶ ἐγώ,› εἶπεν ὁ Θεός,† ‹καὶ
μετὰ ταῦτα ἐξελεύσονται καὶ λατρεύσουσίν
μοι ἐν τῷ τόπῳ τούτῳ.› 8 Καὶ ἔδωκεν αὐτῷ
διαθήκην περιτομῆς· καὶ οὕτως‡ ἐγέννησεν
τὸν Ἰσαὰκ καὶ περιέτεμεν αὐτὸν τῇ ἡμέρᾳ τῇ
ὀγδόῃ, καὶ ὁ § Ἰσαὰκ τὸν Ἰακώβ, καὶ ὁ * Ἰακὼβ

---

* **7:3** εις **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ 1 την אA,B,C,D [3%] NU † **7:4** εν *rell* ¦ εις [35%] ¦ επι [1%] ‡ **7:4** χαρραν *rell* ¦ χαραν [18%] ¦ two other variants [1%] § **7:4** κακειθεν **f**$^{35}$ אA,B,C [60%] HF,RP,OC,TR,CP,NU ¦ και εκειθεν [40%] CP ¦ κακει ην D * **7:4** μετωκισεν *rell* ¦ μετωκησεν D [45%] CP ¦ five other variants [5%] † **7:5** δουναι αυτην εις κατασχεσιν αυτω **f**$^{35}$ אA [25%] ¦ 15342 B,C,D [65%] HF,RP,OC,CP,NU ¦ 512345 [5%] ¦ 51342 [5%] TR ‡ **7:6** ουτως *rell* ¦ αυτω א [10%] ¦ ουτος [1%] § **7:7** ω *rell* ¦ ο [10%] * **7:7** δουλευσωσιν **f**$^{35}$ אB [95%] HF,OC,RP,TR,CP ¦ δουλευσουσιν A,C,D [5%] NU † **7:7** ειπεν ο θεος **f**$^{35}$ D [98%] HF,RP,OC,TR,CP ¦ 231 אA,B,C [2%] NU ‡ **7:8** ουτως *rell* ¦ ουτος [18%] § **7:8** ο **f**$^{35}$ D [96%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [4%] NU * **7:8** ο **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ — אA,B,C,D [4%] NU

τοὺς δώδεκα πατριάρχας.

### *Down to Egypt*

9 »Καὶ οἱ πατριάρχαι, ζηλώσαντες, τὸν
Ἰωσὴφ ἀπέδοντο εἰς Αἴγυπτον· καὶ ἦν ὁ
Θεὸς μετ᾽ αὐτοῦ 10 καὶ ἐξείλετο† αὐτὸν
ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ, καὶ ἔδωκεν
αὐτῷ χάριν καὶ σοφίαν ἐναντίον Φαραώ,
βασιλέως Αἰγύπτου· καὶ κατέστησεν αὐτὸν
ἡγούμενον ἐπ᾽ Αἴγυπτον καὶ‡ ὅλον τὸν οἶκον
αὐτοῦ. 11 Ἦλθεν δὲ λιμὸς ἐφ᾽ ὅλην τὴν γῆν
Αἰγύπτου§ καὶ Χανaάν, καὶ θλῖψις μεγάλη, καὶ
οὐχ* εὕρισκον† χορτάσματα οἱ πατέρες ἡμῶν.
12 Ἀκούσας δὲ Ἰακὼβ ὄντα σῖτα‡ ἐν Αἰγύπτῳ,§
ἐξαπέστειλεν τοὺς πατέρας ἡμῶν πρῶτον.
13 Καὶ ἐν τῷ δευτέρῳ ἀνεγνωρίσθη Ἰωσὴφ
τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ φανερὸν ἐγένετο τῷ*
Φαραὼ τὸ γένος τοῦ† Ἰωσήφ. 14 Ἀποστείλας
δὲ Ἰωσὴφ μετεκαλέσατο Ἰακὼβ τὸν πατέρα

† **7:10** εξειλετο **f**35 [60%] HF,RP,OC,TR,CP ¦ εξειλατο (א)A,B(C,D) [40%] NU ‡ **7:10** και **f**35 B,D [96%] HF,RP,OC,TR,CP ¦ 1 εφ אA,C [4%] [NU] § **7:11** την γην αιγυπτου **f**35 (91%) HF,RP,OC,TR,CP ¦ 23 (4.6%) ¦ 1 αιγυπτον 𝔓45vאA,B,C (3.9%) NU ¦ two other readings D (0.4%) * **7:11** ουχ *rell* ¦ ουκ CP † **7:11** ευρισκον **f**35 אA,C,D [87%] HF,RP,OC,TR,CP ¦ ηυρισκον B [13%] NU ‡ **7:12** σιτα **f**35 [90%] HF,RP,OC,TR,CP ¦ σιτια אA(B)C(D) [4%] NU ¦ σιτον [6%] § **7:12** εν αιγυπτω **f**35 D [98%] HF,RP,OC,TR,CP ¦ εις αιγυπτον אA,B,C [2%] NU * **7:13** τω *rell* ¦ — א [2%] CP ¦ το [1%] † **7:13** του **f**35 𝔓45D [98%] HF,RP,OC,TR,CP[NU] ¦ — (אA),B,C [2%]

αὐτοῦ‡ καὶ πᾶσαν τὴν συγγένειαν αὐτοῦ,§
ἐν ἑβδομήκοντα πέντε ψυχαῖς.* 15 Κατέβη
δὲ† Ἰακὼβ εἰς Αἴγυπτον· καὶ ἐτελεύτησεν,
αὐτὸς καὶ οἱ πατέρες ἡμῶν· 16 καὶ μετετέθησαν
εἰς Συχὲμ καὶ ἐτέθησαν ἐν τῷ μνήματι ὃ ‡
ὠνήσατο Ἀβραὰμ τιμῆς ἀργυρίου παρὰ τῶν
υἱῶν Ἐμμὼρ§ τοῦ* Συχέμ.

### *Enter Moses*

17 »Καθὼς δὲ ἤγγιζεν ὁ χρόνος τῆς
ἐπαγγελίας ἧς ὤμοσεν† ὁ Θεὸς τῷ Ἀβραάμ,
ηὔξησεν ὁ λαὸς καὶ ἐπληθύνθη ἐν Αἰγύπτῳ,
18 ἄχρις‡ οὗ ἀνέστη βασιλεὺς ἕτερος§ ὃς οὐκ
ᾔδει* τὸν Ἰωσήφ. 19 Οὗτος κατασοφισάμενος
τὸ γένος ἡμῶν ἐκάκωσεν τοὺς πατέρας
ἡμῶν,† τοῦ ποιεῖν ἔκθετα τὰ βρέφη‡ αὐτῶν

---

‡ **7:14** ιακωβ τον πατερα αυτου **f**35 אA,B,C,D [20%] NU ¦ 2341 [80%] HF,RP,OC,TR,CP § **7:14** αυτου **f**35 D [30%] OC,TR,CP ¦ — אA,B,C [70%] HF,RP,NU * **7:14** εβδομηκοντα πεντε ψυχαις **f**35 [30%] CP ¦ 312 אA,B,C [63%] HF,RP,OC,TR,NU ¦ 31 και 2 [5%] ¦ 1 και 23 D [2%] † **7:15** κατεβη δε **f**35 B [94%] HF,RP,OC,TR,CP ¦ και 1 אA,C [5%] NU ¦ 1 D [1%] ‡ **7:16** ο **f**35 [87%] HF,RP,TR ¦ ω אA,B,C,D [13%] OC,CP,NU § **7:16** εμμωρ **f**35 אA,B,C,D [33%] NU ¦ εμμορ [60%] HF,RP,OC,TR,CP ¦ εμορ [7%] * **7:16** του **f**35 D [95%] HF,RP,OC,TR,CP ¦ εν אB,C [4%] NU ¦ 1 εν A [1%] † **7:17** ωμοσεν **f**35 (96.5%) HF,RP,OC,TR,CP ¦ ωμολογησεν (א)A,B,C (2.6%) NU ¦ επηγγειλατο 𝔓45D (0.9%) (A small number of MSS misspell the main variant as ωμωσεν or ομωσεν.) ‡ **7:18** αχρις **f**35 אA [98%] HF,OC,TR,CP ¦ αχρι B,C,D [2%] RP,NU § **7:18** ετερος **f**35 D [95%] HF,RP,OC,TR,CP ¦ 1 επ αιγυπτον (א)A,B,C [5%] [NU] * **7:18** ηδει *rell* ¦ ηδη [1%] CP ¦ ειδη [12%] † **7:19** ημων **f**35 A,C [98%] HF,RP,OC,TR,CP[NU] ¦ — אB,D [2%] ‡ **7:19** εκθετα τα βρεφη **f**35 𝔓45D [97%] HF,RP,OC,TR,CP ¦ 231 אA,B,C [3%] NU

εἰς τὸ μὴ ζωογονεῖσθαι. 20 Ἐν ᾧ καιρῷ
ἐγεννήθη Μωϋσῆς,§ καὶ ἦν ἀστεῖος τῷ Θεῷ·
ὃς ἀνετράφη μῆνας τρεῖς ἐν τῷ οἴκῳ τοῦ
πατρός.* 21 Ἐκτεθέντα δὲ αὐτὸν† ἀνείλετο‡
ἡ θυγάτηρ Φαραὼ καὶ ἀνεθρέψατο αὐτὸν
ἑαυτῇ εἰς υἱόν. 22 Καὶ ἐπαιδεύθη Μωϋσῆς§
πάσῃ* σοφίᾳ Αἰγυπτίων· ἦν δὲ δυνατὸς ἐν
λόγοις† καὶ‡ ἔργοις.§ 23 Ὡς δὲ ἐπληροῦτο αὐτῷ
τεσσαρακονταετὴς* χρόνος, ἀνέβη ἐπὶ† τὴν
καρδίαν αὐτοῦ ἐπισκέψασθαι τοὺς ἀδελφοὺς
αὐτοῦ, τοὺς υἱοὺς Ἰσραήλ. 24 Καὶ ἰδών
τινα ἀδικούμενον, ἠμύνατο καὶ ἐποίησεν‡
ἐκδίκησιν τῷ καταπονουμένῳ, πατάξας τὸν
Αἰγύπτιον. 25 Ἐνόμιζεν δὲ συνιέναι τοὺς
ἀδελφοὺς αὐτοῦ§ ὅτι ὁ Θεὸς διὰ χειρὸς
αὐτοῦ δίδωσιν αὐτοῖς σωτηρίαν,* οἱ δὲ οὐ

§ **7:20** μωυσης **f**$^{35}$ 𝔭$^{45}$אB,C,D [75%] OC,NU ¦ μωσης A [25%] HF,RP,TR,CP * **7:20** πατρος **f**$^{35}$ A,B,C [92%] HF,RP,NU ¦ 1 αυτου D [8%] OC,TR,CP ¦ 1 μου א † **7:21** εκτεθεντα δε αυτον **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ εκτεθεντος 2 αυτου אA,B,C(D) [4%] NU ‡ **7:21** ανειλετο **f**$^{35}$ [25%] HF,RP ¦ 1 αυτον [60%] OC,TR,CP ¦ ανειλατο αυτον אA,B,C,D [15%] NU § **7:22** μωυσης **f**$^{35}$ אB,C,D [90%] OC,CP,NU ¦ μωσης A [10%] HF,RP,TR * **7:22** παση **f**$^{35}$ B,D [98%] HF,RP,OC,TR,CP ¦ εν 1 אA,C [2%] [NU] † **7:22** λογοις *rell* ¦ λογω [10%] ‡ **7:22** και **f**$^{35}$ אA,B,C,D [65%] HF,RP,CP,NU ¦ 1 εν [35%] OC,TR (OC is in small print) § **7:22** εργοις **f**$^{35}$ [95%] HF,RP,OC,TR ¦ 1 αυτου אA,B,C$^{V}$ [5%] CP,NU * **7:23** τεσσαρακονταετης **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ τεσσερακονταετης אA,B,C [3%] NU † **7:23** επι *rell* ¦ εις [2%] OC ‡ **7:24** εποιησεν *rell* ¦ εποιησατο OC § **7:25** αυτου **f**$^{35}$ A,D [98%] HF,RP,OC,TR,CP[NU] ¦ — אB,C [2%] * **7:25** αυτοις σωτηριαν **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ 21 אA,B,C,D [3%] NU

συνῆκαν. 26 Τῇ τε ἐπιούσῃ ἡμέρᾳ ὤφθη
αὐτοῖς μαχομένοις καὶ συνήλασεν† αὐτοὺς εἰς
εἰρήνην, εἰπών, ‹Ἄνδρες, ἀδελφοί ἐστε ὑμεῖς·‡
ἵνα τί ἀδικεῖτε§ ἀλλήλους;› 27 Ὁ δὲ ἀδικῶν
τὸν πλησίον ἀπώσατο τοῦτον* εἰπών· ‹Τίς σε
κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ᾽ ἡμᾶς;†
28 Μὴ ἀνελεῖν με σὺ θέλεις ὃν τρόπον ἀνεῖλες
χθὲς τὸν Αἰγύπτιον;›‡ 29 Ἔφυγεν δὲ Μωσῆς§
ἐν τῷ λόγῳ τούτῳ, καὶ ἐγένετο πάροικος ἐν
γῇ Μαδιάμ, οὗ ἐγέννησεν υἱοὺς δύο.

### *Moses commissioned*

30 »Καὶ πληρωθέντων ἐτῶν τεσσαράκοντα,*
ὤφθη αὐτῷ ἐν τῇ ἐρήμῳ τοῦ Ὄρους Σινᾶ
ἄγγελος Κυρίου,† ἐν φλογὶ πυρὸς βάτου.
31 Ὁ δὲ Μωσῆς‡ ἰδὼν ἐθαύμασεν§ τὸ ὅραμα,
προσερχομένου δὲ αὐτοῦ κατανοῆσαι, ἐγένετο

---

† **7:26** συνηλασεν **f**$^{35}$ A [92%] HF,RP,OC,TR,CP ¦ συνηλλασσεν ℵB,C,D [3%] NU ¦ συνηλλασεν [5%] ‡ **7:26** υμεις **f**$^{35}$ [92%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C,D [8%] NU § **7:26** αδικειτε (ℵ) *rell* ¦ αδικητε [20%] ¦ αδικειται C(D) [2%] * **7:27** τουτον **f**$^{35}$ [20%] ¦ αυτον ℵA,B,C,D [80%] HF,RP,OC,TR,CP,NU (The demonstrative is more emphatic, this being the crucial point of comparison Stephen will make later. It is repeated four times in verses 35-37.) † **7:27** ημας **f**$^{35}$ D [60%] HF,RP,TR,CP ¦ ημων ℵA,B,C [40%] OC,NU ‡ **7:28** χθες τον αιγυπτιον **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ 231 A [2%] ¦ εχθες 23 ℵB,C [2%] NU ¦ αιχθες 23 D § **7:29** μωσης **f**$^{35}$ A [45%] HF,RP,TR,CP ¦ μωυσης ℵB,C(D) [55%] OC,NU * **7:30** τεσσαρακοντα **f**$^{35}$ [98%] HF,RP,OC,TR,CP ¦ τεσσερακοντα ℵA,B,C [2%] NU † **7:30** κυριου **f**$^{35}$ D [98%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C [2%] NU ‡ **7:31** μωσης **f**$^{35}$ A [38%] HF,RP,TR ¦ μωυσης ℵB,C,D [62%] OC,CP,NU § **7:31** εθαυμασεν **f**$^{35}$ A,B,C [25%] TR ¦ εθαυμαζεν ℵD [75%] HF,RP,OC,CP,NU

φωνὴ Κυρίου πρὸς αὐτόν·* 32 ‹Ἐγὼ ὁ Θεὸς τῶν
πατέρων σου—ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς†
Ἰσαὰκ καὶ ὁ Θεὸς‡ Ἰακώβ.› Ἔντρομος δὲ
γενόμενος Μωϋσῆς,§ οὐκ ἐτόλμα κατανοῆσαι.
33 Εἶπεν δὲ αὐτῷ ὁ Κύριος· ‹Λῦσον τὸ ὑπόδημα
τῶν ποδῶν σου, ὁ γὰρ τόπος ἐν* ᾧ ἕστηκας
γῆ ἁγία ἐστίν. 34 Ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ
λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ, καὶ τοῦ στεναγμοῦ
αὐτῶν ἤκουσα· καὶ κατέβην ἐξελέσθαι αὐτούς.
Καὶ νῦν δεῦρο, ἀποστελῶ† σε εἰς Αἴγυπτον.›
35 »Τοῦτον τὸν Μωϋσῆν‡ ὃν ἠρνήσαντο
εἰπόντες, ‹Τίς σε κατέστησεν ἄρχοντα καὶ
δικαστήν;›§—τοῦτον ὁ Θεὸς* ἀρχηγὸν† καὶ
λυτρωτὴν ἀπέστειλεν‡ ἐν§ χειρὶ ἀγγέλου τοῦ
ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ. 36 Οὗτος ἐξήγαγεν
αὐτούς, ποιήσας τέρατα καὶ σημεῖα ἐν γῇ

* **7:31** προς αυτον **f**35 C [96%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,D [4%] NU † **7:32** ο θεος **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C [5%] NU ¦ 2 D ‡ **7:32** ο θεος **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C [5%] NU ¦ 2 D § **7:32** μωυσης **f**35 ℵB,C,D [80%] OC,CP,NU ¦ μωσης A [20%] HF,RP,TR * **7:33** εν **f**35 [97%] HF,RP,OC,TR,CP ¦ εφ 𝔓45ℵA,B,C [3%] NU ¦ ου D [for εν ω] † **7:34** αποστελω **f**35 [90%] HF,RP,OC,TR,CP ¦ αποστειλω A,B,C,D [9%] NU ¦ αποστιλω ℵ [1%] ‡ **7:35** μωυσην **f**35 ℵB,C,D [85%] OC,TR,CP,NU ¦ μωσην A [15%] HF,RP § **7:35** δικαστην **f**35 𝔓45A,B [87%] HF,RP,OC,TR,CP,NU ¦ 1 εφ ημας [10%] ¦ 1 εφ ημων ℵC,D [3%] * **7:35** θεος **f**35 𝔓45ℵA,C [96%] HF,RP,OC,TR,CP ¦ 1 και B,D [4%] [NU] † **7:35** αρχηγον **f**35 A [23%] ¦ αρχοντα 𝔓45ℵB,C,D [77%] HF,RP,OC,TR,CP,NU ‡ **7:35** απεστειλεν **f**35 (C) [90%] HF,RP,OC,TR,CP ¦ απεσταλκεν ℵA,B,D [10%] NU § **7:35** εν **f**35 ℵ [96%] HF,RP,OC,TR,CP ¦ συν A,B,C,D [4%] NU

Αἰγύπτῳ* καὶ ἐν Ἐρυθρᾷ Θαλάσσῃ, καὶ ἐν τῇ
ἐρήμῳ ἔτη τεσσαράκοντα.†

*Israel’s rebellion*

37 »Οὗτός ἐστιν‡ Μωϋσῆς§ ὁ εἰπὼν* τοῖς
υἱοῖς Ἰσραήλ, ‹Προφήτην ὑμῖν ἀναστήσει
Κύριος† ὁ Θεὸς ἡμῶν‡ ἐκ τῶν ἀδελφῶν ὑμῶν,
ὡς ἐμέ.›§ 38 Οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ
ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ, μετὰ τοῦ ἀγγέλου τοῦ
λαλοῦντος αὐτῷ ἐν τῷ Ὄρει Σινᾶ καὶ τῶν
πατέρων ἡμῶν, ὃς ἐδέξατο λόγια* ζῶντα
δοῦναι ἡμῖν· 39 ᾧ οὐκ ἠθέλησαν ὑπήκοοι
γενέσθαι οἱ πατέρες ἡμῶν·† ἀλλ’‡ ἀπώσαντο
καὶ ἐστράφησαν τῇ καρδίᾳ§ αὐτῶν εἰς
Αἴγυπτον, 40 εἰπόντες τῷ Ἀαρών, ‹Ποίησον
ἡμῖν θεοὺς οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ
Μωϋσῆς* οὗτος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς

---

* **7:36** αιγυπτω *rell* ¦ αιγυπτου D [10%] TR † **7:36** τεσσαρακοντα **f**35 [96%] HF,RP,OC,TR,CP ¦ τεσσερακοντα ℵA,B,C [3%] NU ¦ μ 𝔓45D [1%] ‡ **7:37** εστιν **f**35 D [65%] ¦ 1 ο ℵA,B,C [35%] HF,RP,OC,TR,CP,NU § **7:37** μωυσης **f**35 ℵB,C,D [80%] OC,TR,CP,NU ¦ μωσης A [20%] HF,RP * **7:37** ειπων **f**35 [98%] HF,RP,OC,TR,CP ¦ ειπας ℵA,B,C,D [2%] NU † **7:37** κυριος **f**35 C [98%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,D [2%] NU ‡ **7:37** ημων **f**35 [40%] HF,RP,CP ¦ υμων [55%] OC,TR ¦ — ℵA,B,C,D [5%] NU § **7:37** εμε **f**35 ℵA,B [85%] HF,RP,CP,NU ¦ 1 αυτου ακουσεσθε C(D) [15%] OC,TR (OC is in small print) * **7:38** λογια **f**35 𝔓45ℵA,B,C [80%] HF,OC,TR,CP,NU ¦ λογον [20%] RP † **7:39** ημων *rell* ¦ υμων [12%] ‡ **7:39** αλλ **f**35 [70%] HF,RP,OC,TR,CP ¦ αλλα ℵA,B,C,D [30%] NU § **7:39** τη καρδια **f**35 [95%] HF,RP,OC ¦ ταις καρδιαις D [3%] CP,TR ¦ εν ταις καρδιαις 𝔓45(ℵ)A,B,C [2%] NU * **7:40** μωυσης **f**35 ℵB,C,D [80%] OC,CP,NU ¦ μωσης A [20%] HF,RP,TR

Αἰγύπτου—οὐκ οἴδαμεν τί γέγονεν† αὐτῷ.›
41 Καὶ ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις
ἐκείναις καὶ ἀνήγαγον θυσίαν τῷ εἰδώλῳ,
καὶ εὐφραίνοντο‡ ἐν τοῖς ἔργοις τῶν χειρῶν
αὐτῶν. 42 Ἔστρεψεν δὲ ὁ Θεὸς καὶ παρέδωκεν
αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ,
καθὼς γέγραπται ἐν Βίβλῳ τῶν Προφητῶν·
‹Μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ§ μοι ἐν
τῇ ἐρήμῳ ἔτη τεσσαράκοντα,* οἶκος Ἰσραήλ;
43 Καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολόχ, καὶ
τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν,† Ῥεφφάν,‡ τοὺς
τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς· καὶ
μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος.›

### *A dwelling for God*

44 »Ἡ σκηνὴ τοῦ μαρτυρίου ἦν§ τοῖς
πατράσιν ἡμῶν ἐν τῇ ἐρήμῳ, καθὼς διετάξατο
ὁ λαλῶν τῷ Μωϋσῇ* ποιῆσαι αὐτὴν κατὰ
τὸν τύπον ὃν ἑωράκει·† 45 ἣν καὶ εἰσήγαγον,
διαδεξάμενοι οἱ πατέρες ἡμῶν, μετὰ Ἰησοῦ ἐν

---

† **7:40** γεγονεν **f**[35] D [97%] HF,RP,OC,TR,CP ¦ εγενετο ℵA,B,C [3%] NU ‡ **7:41** ευφραινοντο *rell* ¦ ηυφραινοντο D [20%] § **7:42** προσηνεγκατε *rell* ¦ προσενεγκατε [2%] CP * **7:42** εν τη ερημω ετη τεσσαρακοντα **f**[35] (A) [20%] ¦ 45 (τεσσερακοντα ℵC,NU) 123 (ℵC)D [80%] HF,RP,OC,TR,CP (NU) ¦ 4 τεσσερακοντα B † **7:43** υμων **f**[35] ℵA,C [90%] HF,RP,OC,TR,CP[NU] ¦ — B,D ¦ ημων [9%] ‡ **7:43** ρεφφαν **f**[35] [50%] ¦ ρεφαν C [8%] CP ¦ ρεμφαν (D) [25%] HF,RP,OC,TR ¦ ραιφαν A [7%] NU ¦ ρομφα B [3%] ¦ ρομφαν ℵ ¦ ρεφραν [5%] ¦ several further spellings § **7:44** ην **f**[35] ℵA,B,C [95%] HF,RP,OC,NU ¦ 1 εν D [5%] CP,TR * **7:44** μωυση **f**[35] ℵB,C(D) [85%] OC,CP,NU ¦ μωση A [15%] HF,RP,TR † **7:44** εωρακει **f**[35] ℵA,B,C [80%] HF,RP,OC,TR,CP,NU ¦ εωρακεν D [20%]

τῇ κατασχέσει τῶν ἐθνῶν, ὧν ἔξωσεν ὁ Θεὸς
ἀπὸ προσώπου τῶν πατέρων ἡμῶν, ἕως τῶν
ἡμερῶν Δαυίδ·‡ 46 ὃς εὗρεν χάριν ἐνώπιον§
τοῦ Θεοῦ καὶ ᾐτήσατο εὑρεῖν σκήνωμα τῷ
Θεῷ* Ἰακώβ· 47 Σολομὼν δὲ ᾠκοδόμησεν†
αὐτῷ‡ οἶκον. 48 Ἀλλ᾽ οὐχ ὁ Ὕψιστος ἐν
χειροποιήτοις ναοῖς§ κατοικεῖ, καθὼς ὁ
προφήτης λέγει· 49 ‹Ὁ οὐρανός μοι θρόνος,
ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. Ποῖον
οἶκον οἰκοδομήσετέ μοι,› λέγει Κύριος, ‹ἢ τίς
τόπος τῆς καταπαύσεώς μου; 50 Οὐχὶ ἡ χείρ
μου ἐποίησεν ταῦτα πάντα;›*

### *Stephen attacks*

51 »Σκληροτράχηλοι καὶ ἀπερίτμητοι τῇ
καρδίᾳ† καὶ τοῖς ὠσίν, ὑμεῖς ἀεὶ τῷ Πνεύματι
τῷ Ἁγίῳ ἀντιπίπτετε· ὡς οἱ πατέρες ὑμῶν,
καὶ ὑμεῖς. 52 Τίνα τῶν προφητῶν οὐκ
ἐδίωξαν οἱ πατέρες ὑμῶν; Καὶ ἀπέκτειναν
τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως
τοῦ Δικαίου, οὗ νῦν ὑμεῖς προδόται καὶ φονεῖς

---

‡ **7:45** Since most minuscules use a shortened form for 'David' (δαδ), the choice δαυιδ *rell* ¦ δαβιδ TR must be made on a different basis. § **7:46** ενωπιον *rell* ¦ ενωπιων CP * **7:46** θεω **f**35 A,C [95%] HF,RP,OC,TR,CP ¦ οικω אB,D [5%] NU † **7:47** ωκοδομησεν **f**35 אA,C [99%] HF,RP,OC,TR,CP ¦ οικοδομησεν B,D [1%] NU ‡ **7:47** αυτω *rell* ¦ εαυτω C [15%] § **7:48** ναοις **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — אA,B,C(D) [5%] NU * **7:50** ταυτα παντα **f**35 אB [87%] HF,RP,OC,TR,CP,NU ¦ 21 A,C,D [13%] † **7:51** τη καρδια **f**35 [95%] HF,RP,OC,TR,CP ¦ καρδιαις A,C,D [1%] NU ¦ καρδιας B ¦ ταις καρδιαις א [3%]

γεγένησθε·‡ 53 οἵτινες ἐλάβετε τὸν νόμον εἰς
διαταγὰς ἀγγέλων καὶ οὐκ ἐφυλάξατε.»

### *Stephen is martyred*

54 Ἀκούοντες δὲ ταῦτα διεπρίοντο ταῖς
καρδίαις αὐτῶν, καὶ ἔβρυχον τοὺς ὀδόντας
ἐπ᾽ αὐτόν. 55 Ὑπάρχων δὲ πλήρης Πνεύματος
Ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανόν, εἶδεν δόξαν
Θεοῦ καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ,
56 καὶ εἶπεν, «Ἰδού, θεωρῶ τοὺς οὐρανοὺς
ἀνεῳγμένους§ καὶ τὸν Υἱὸν τοῦ Ἀνθρώπου
ἐκ δεξιῶν ἑστῶτα τοῦ Θεοῦ.»* 57 Κράξαντες
δὲ φωνῇ μεγάλῃ, συνέσχον τὰ ὦτα αὐτῶν
καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ᾽ αὐτόν, 58 καὶ
ἐκβαλόντες ἔξω τῆς πόλεως, ἐλιθοβόλουν.
(Καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια†
παρὰ τοὺς πόδας νεανίου‡ καλουμένου
Σαύλου.) 59 Καὶ ἐλιθοβόλουν τὸν Στέφανον
ἐπικαλούμενον καὶ λέγοντα, «Κύριε Ἰησοῦ,
δέξαι τὸ πνεῦμά μου.» 60 Θεὶς δὲ τὰ γόνατα,
ἔκραξεν φωνῇ μεγάλῃ, «Κύριε, μὴ στήσῃς
αὐτοῖς τὴν ἁμαρτίαν ταύτην.»§ Καὶ τοῦτο
εἰπὼν ἐκοιμήθη. (Σαῦλος δὲ ἦν συνευδοκῶν
τῇ ἀναιρέσει αὐτοῦ.)

---

‡ **7:52** γεγενησθε **f**$^{35}$ [88%] HF,RP,OC,TR,CP ¦ εγενεσθε 𝔓$^{45}$A,B [5%] NU ¦ εγενεσθαι אC,D [2%] ¦ γεγενεσθαι [5%] § **7:56** ανεωγμενους **f**$^{35}$ (D) [97%] HF,RP,OC,TR,CP ¦ διηνοιγμενους אA(B)C [3%] NU * **7:56** εστωτα του θεου *rell* ¦ 231 OC † **7:58** ιματια **f**$^{35}$ [75%] HF,RP ¦ 1 αυτων אA,C,D [24%] OC,TR,CP,NU ¦ 1 εαυτων B ‡ **7:58** νεανιου *rell* ¦ 1 του [10%] CP ¦ τινος D § **7:60** την αμαρτιαν ταυτην **f**$^{35}$ א [98%] HF,RP,OC,TR,CP ¦ 312 A,B,C,D [2%] NU

# 8

1 Ἐγένετο δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς
μέγας ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν Ἱεροσολύμοις·
πάντες δὲ* διεσπάρησαν κατὰ τὰς χώρας
τῆς Ἰουδαίας καὶ Σαμαρείας, πλὴν τῶν
ἀποστόλων. 2 (Συνεκόμισαν δὲ τὸν Στέφανον
ἄνδρες εὐλαβεῖς καὶ ἐποιήσαντο† κοπετὸν
μέγαν ἐπ᾽ αὐτῷ.)‡ 3 Σαῦλος δὲ ἐλυμαίνετο τὴν
ἐκκλησίαν· κατὰ τοὺς οἴκους εἰσπορευόμενος,
σύρων τε ἄνδρας καὶ γυναῖκας, παρεδίδου εἰς
φυλακήν. 4 Οἱ μὲν οὖν διασπαρέντες διῆλθον
εὐαγγελιζόμενοι τὸν λόγον.

### *Philip's ministry*

5 Φίλιππος δέ, κατελθὼν εἰς§ πόλιν τῆς
Σαμαρείας, ἐκήρυσσεν αὐτοῖς τὸν Χριστόν·
6 προσεῖχον δὲ* οἱ ὄχλοι τοῖς λεγομένοις
ὑπὸ τοῦ Φιλίππου ὁμοθυμαδόν, ἐν τῷ
ἀκούειν αὐτοὺς καὶ βλέπειν τὰ σημεῖα
ἃ ἐποίει. 7 Πολλῶν† γὰρ τῶν ἐχόντων
πνεύματα ἀκάθαρτα βοῶντα φωνῇ μεγάλῃ‡
ἐξήρχετο,§ πολλοὶ δὲ παραλελυμένοι καὶ

---

* **8:1** δε **f**[35] B,C [88%] HF,RP,OC,CP,NU ¦ τε A [5%] TR ¦ γαρ [5%] ¦ και [2%] ¦ — א † **8:2** εποιησαντο **f**[35] [85%] HF,RP,TR,CP ¦ εποιησαν אA,B,C,D [15%] OC,NU ‡ **8:2** αυτω *rell* ¦ αυτον [30%] § **8:5** εις **f**[35] C,D [98%] HF,RP,OC,TR,CP ¦ 1 την אA,B [2%] [NU] * **8:6** δε **f**[35] אA,B,C [30%] OC,NU ¦ τε [70%] HF,RP,TR,CP † **8:7** πολλων **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ πολλοι אA,B,C [3%] NU ¦ πολλοις D ‡ **8:7** φωνη μεγαλη **f**[35] אA,B,C,D [95%] HF,RP,OC,CP,NU ¦ 21 [5%] TR § **8:7** εξηρχετο **f**[35] [85%] HF,RP,OC,TR,CP ¦ εξηρχοντο אA,B,C,D [15%] NU

χωλοὶ ἐθεραπεύθησαν. 8 Καὶ ἐγένετο* χαρὰ
μεγάλη† ἐν τῇ πόλει ἐκείνῃ.

### *Simon the sorcerer*

9 Ἀνὴρ δέ τις ὀνόματι Σίμων προϋπῆρχεν ἐν
τῇ πόλει, μαγεύων καὶ ἐξιστῶν‡ τὸ ἔθνος τῆς
Σαμαρείας, λέγων εἶναί τινα ἑαυτὸν μέγαν,
10 ᾧ προσεῖχον,§ ἀπὸ μικροῦ ἕως μεγάλου,
λέγοντες, «Οὗτός ἐστιν ἡ δύναμις τοῦ Θεοῦ,
ἡ * μεγάλη.» 11 Προσεῖχον δὲ αὐτῷ διὰ
τὸ ἱκανῷ χρόνῳ ταῖς μαγείαις† ἐξεστακέναι‡
αὐτούς. 12 Ὅτε δὲ ἐπίστευσαν τῷ Φιλίππῳ,
εὐαγγελιζομένῳ τὰ§ περὶ τῆς βασιλείας τοῦ
Θεοῦ καὶ τοῦ ὀνόματος,* Ἰησοῦ Χριστοῦ,
ἐβαπτίζοντο, ἄνδρες τε καὶ γυναῖκες. 13 Ὁ δὲ
Σίμων καὶ αὐτὸς ἐπίστευσεν, καὶ βαπτισθεὶς
ἦν προσκαρτερῶν τῷ Φιλίππῳ· θεωρῶν τε
δυνάμεις καὶ σημεῖα† γινόμενα,‡ ἐξίστατο.

---

* **8:8** και εγενετο **f**35 [96%] HF,RP,OC,TR,CP ¦ 2 δε ℵA,B,C [4%] NU ¦ τε 2 (D) † **8:8** χαρα μεγαλη **f**35 (D) [98%] HF,RP,OC,TR,CP ¦ πολλη χαρα ℵA,B,C [2%] NU ‡ **8:9** εξιστων **f**35 [95%] HF,RP,OC,TR,CP ¦ εξιστανων ℵA,B(C) [5%] NU § **8:10** προσειχον **f**35 [93%] HF,RP ¦ 1 παντες ℵA,B,C,D [7%] OC,TR,CP,NU * **8:10** η **f**35 (90.4%) HF,RP,OC,TR,CP ¦ 1 καλουμενη ℵA,B,C,D (6.6%) NU ¦ 1 λεγομενη (1.9%) ¦ three other readings (1.1%) † **8:11** μαγειαις *rell* ¦ μαγιαις ℵA,C,D [20%] ‡ **8:11** εξεστακεναι *rell* ¦ εξιστακεναι (A) [20%] ¦ εξεστηκεναι [3%] ¦ εξειστακεναι C § **8:12** τα **f**35 [96%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C,D [4%] NU * **8:12** ονοματος **f**35 ℵA,B,C,D [95%] HF,RP,OC,CP,NU ¦ 1 του [5%] TR † **8:13** δυναμεις και σημεια **f**35 [93%] HF,RP,OC ¦ 123 μεγαλα [2%] CP ¦ 321 μεγαλας (ℵ)A,B(C,D) [5%] TR,NU ‡ **8:13** γινομενα **f**35 [95%] HF,RP,OC,CP ¦ γινομενας (ℵA,B,D) [5%] TR,NU ¦ — C

14 Ἀκούσαντες δὲ οἱ ἐν Ἱεροσολύμοις
ἀπόστολοι ὅτι δέδεκται ἡ Σαμάρεια τὸν
λόγον τοῦ Θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς τὸν§
Πέτρον καὶ Ἰωάννην, 15 οἵτινες καταβάντες
προσηύξαντο περὶ αὐτῶν, ὅπως λάβωσιν
Πνεῦμα Ἅγιον, 16 οὔπω* γὰρ ἦν ἐπ᾽ οὐδενὶ
αὐτῶν ἐπιπεπτωκός· μόνον δὲ βεβαπτισμένοι
ὑπῆρχον εἰς τὸ ὄνομα τοῦ Χριστοῦ,† Ἰησοῦ.
17 Τότε ἐπετίθουν‡ τὰς χεῖρας ἐπ᾽ αὐτούς, καὶ
ἐλάμβανον Πνεῦμα Ἅγιον.
18 Θεασάμενος§ δὲ ὁ Σίμων ὅτι διὰ τῆς
ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων
δίδοται τὸ Πνεῦμα τὸ Ἅγιον,* προσήνεγκεν
αὐτοῖς χρήματα, 19 λέγων, «Δότε κἀμοὶ τὴν
ἐξουσίαν ταύτην, ἵνα ᾧ ἂν† ἐπιθῶ τὰς χεῖρας
λαμβάνῃ‡ Πνεῦμα Ἅγιον.» 20 Πέτρος δὲ εἶπεν
πρὸς αὐτόν· «Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη
εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ
ἐνόμισας§ διὰ χρημάτων κτᾶσθαι. 21 Οὐκ
ἔστιν σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ
τούτῳ, ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα

---

§ **8:14** τον $\mathbf{f}^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C,D [7%] NU * **8:16** ουπω $\mathbf{f}^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ ουδεπω ℵA,B,C,D [6%] NU † **8:16** χριστου $\mathbf{f}^{35}$ [70%] HF,RP ¦ κυριου ℵA,B,C [30%] OC,TR,CP,NU ¦ κυριου ιησου χριστου D ‡ **8:17** επετιθουν $\mathbf{f}^{35}$ $\mathfrak{P}^{45}$D [96%] HF,RP,OC,TR,CP ¦ επετιθεσαν ℵA [3%] NU ¦ επετιθεισαν C ¦ επετιθοσαν B § **8:18** θεασαμενος $\mathbf{f}^{35}$ [85%] HF,RP,TR,CP ¦ ιδων ℵA,B,C,D [15%] OC,NU * **8:18** το αγιον $\mathbf{f}^{35}$ $\mathfrak{P}^{45}$A,C,D (99.6%) HF,RP,OC,TR,CP ¦ — ℵB (alone) NU † **8:19** αν $\mathbf{f}^{35}$ D [59%] TR ¦ εαν ℵA,B,C [40%] HF,RP,OC,CP,NU ¦ — [1%] ‡ **8:19** λαμβανη *rell* ¦ λαμβανει [20%] § **8:20** ενομισας *rell* ¦ ενομησας [15%] ¦ two other variants

ἐναντίον* τοῦ Θεοῦ. 22 Μετανόησον οὖν ἀπὸ
τῆς κακίας σου ταύτης καὶ δεήθητι τοῦ Θεοῦ,†
εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας
σου· 23 εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον
ἀδικίας ὁρῶ σε ὄντα.» 24 Ἀποκριθεὶς δὲ ὁ
Σίμων εἶπεν, «Δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς
τὸν Κύριον,‡ ὅπως μηδὲν ἐπέλθῃ ἐπ᾽ ἐμὲ ὧν
εἰρήκατε.»
25 Οἱ μὲν οὖν διαμαρτυράμενοι§ καὶ
λαλήσαντες τὸν λόγον τοῦ Κυρίου,
ὑπέστρεψαν* εἰς Ἱερουσαλήμ·† πολλάς τε
κώμας τῶν Σαμαρειτῶν εὐηγγελίσαντο.‡

### *The Ethiopian treasurer*

26 Ἄγγελος δὲ Κυρίου ἐλάλησεν πρὸς
Φίλιππον, λέγων, «Ἀνάστηθι καὶ πορεύου
κατὰ μεσημβρίαν ἐπὶ τὴν ὁδὸν τὴν
καταβαίνουσαν ἀπὸ Ἱερουσαλὴμ εἰς Γάζαν·
αὕτη ἐστὶν ἔρημος.» 27 Καὶ ἀναστὰς ἐπορεύθη·
καὶ ἰδού, ἀνὴρ Αἰθίοψ, εὐνοῦχος, δυνάστης
Κανδάκης τῆς§ βασιλίσσης Αἰθιόπων, ὃς ἦν
ἐπὶ πάσης τῆς γάζης αὐτῆς, ὃς ἐληλύθει*

* **8:21** εναντιον **f**[35] C [20%] ¦ ενωπιον [78%] HF,RP,OC,TR,CP ¦ εναντι אA,B,D [2%] NU † **8:22** θεου **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ κυριου אA,B,C,D [5%] NU ‡ **8:24** κυριον *rell* ¦ θεον D [12%] OC § **8:25** διαμαρτυραμενοι **f**[35] A,B,C,D [75%] HF,RP,OC,TR,NU ¦ διαμαρτυρομενοι א [25%] CP * **8:25** υπεστρεψαν **f**[35] C [96%] HF,RP,OC,TR,CP ¦ υπεστρεφον אA,B,D [4%] NU † **8:25** ιερουσαλημ **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ ιεροσολυμα אA,B,C(D) [8%] NU ‡ **8:25** ευηγγελισαντο **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ευηγγελιζοντο א(A)B,C,D [5%] NU § **8:27** της **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ — אA,B,C,D [3%] NU * **8:27** εληλυθει (C) *rell* ¦ εληλυθη [50%]

προσκυνήσων εἰς Ἱερουσαλήμ 28 —ἦν τε
ὑποστρέφων καὶ καθήμενος ἐπὶ τοῦ ἅρματος
αὐτοῦ, καὶ ἀνεγίνωσκεν† τὸν προφήτην
Ἠσαΐαν. 29 Εἶπεν δὲ τὸ Πνεῦμα τῷ Φιλίππῳ,
«Πρόσελθε καὶ κολλήθητι τῷ ἅρματι τούτῳ.»
30 Προσδραμὼν‡ δὲ ὁ Φίλιππος ἤκουσεν αὐτοῦ
ἀναγινώσκοντος τὸν προφήτην Ἠσαΐαν,§ καὶ
εἶπεν, «Ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις;»
31 Ὁ δὲ εἶπεν, «Πῶς γὰρ ἂν δυναίμην, ἐὰν
μή τις* ὁδηγήσῃ† με;» Παρεκάλεσέν τε τὸν
Φίλιππον ἀναβάντα καθίσαι σὺν αὐτῷ.
32 Ἡ δὲ περιοχὴ τῆς Γραφῆς ἣν ἀνεγίνωσκεν
ἦν αὕτη· «Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη·
καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος‡ αὐτὸν
ἄφωνος, οὕτως§ οὐκ ἀνοίγει* τὸ στόμα αὐτοῦ.
33 Ἐν τῇ ταπεινώσει αὐτοῦ† ἡ κρίσις αὐτοῦ
ἤρθη, τὴν δὲ‡ γενεὰν αὐτοῦ τίς διηγήσεται;
Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.»
34 Ἀποκριθεὶς δὲ ὁ εὐνοῦχος τῷ Φιλίππῳ
εἶπεν, «Δέομαί σου, περὶ τίνος ὁ προφήτης

† **8:28** και ανεγινωσκεν **f35** (B,C) [40%] HF,RP,OC,TR,NU ¦ 2 ℵ [60%] CP ¦ 2 τε A ¦ αναγεινωσκων D ‡ **8:30** προσδραμων *rell* ¦ προδραμων CP § **8:30** τον προφητην ησαιαν **f35** [96%] HF,RP,OC,TR,CP ¦ 312 ℵA,B,C [4%] NU * **8:31** τις *rell* ¦ της CP † **8:31** οδηγηση **f35** A [85%] HF,RP,OC,TR,CP ¦ οδηγησει ℵ(C) [15%] NU ¦ οδαγησει B ‡ **8:32** κειροντος **f35** B [66%] RP,OC,TR,CP ¦ κειραντος A,C [25%] HF,NU ¦ κηραντος [8%] ¦ κιραντος ℵ [1%] § **8:32** ουτως **f35** ℵA,B,C [65%] HF,RP,OC,TR,CP,NU ¦ ουτος [35%] * **8:32** ανοιγει *rell* ¦ ανοιγη [2%] CP ¦ ανυγει ℵ [1%] † **8:33** αυτου **f35** C [98%] HF,RP,OC,TR,CP[NU] ¦ — ℵA,B [2%] ‡ **8:33** δε **f35** [98%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C [2%] NU

λέγει τοῦτο, περὶ ἑαυτοῦ ἢ περὶ ἑτέρου
τινός;» 35 Ἀνοίξας δὲ ὁ Φίλιππος τὸ στόμα
αὐτοῦ καὶ ἀρξάμενος ἀπὸ τῆς Γραφῆς ταύτης,
εὐηγγελίσατο αὐτῷ τὸν Ἰησοῦν.
36 Ὡς δὲ ἐπορεύοντο κατὰ τὴν ὁδὸν ἦλθον
ἐπί τι ὕδωρ, καί φησιν ὁ εὐνοῦχος· «Ἰδού,
ὕδωρ· τί κωλύει με βαπτισθῆναι;»§ 38 Καὶ
ἐκέλευσεν στῆναι τὸ ἅρμα, καὶ κατέβησαν
ἀμφότεροι εἰς τὸ ὕδωρ, ὅ τε Φίλιππος καὶ
ὁ εὐνοῦχος, καὶ ἐβάπτισεν αὐτόν. 39 Ὅτε
δὲ ἀνέβησαν ἐκ τοῦ ὕδατος, Πνεῦμα Κυρίου
ἥρπασεν τὸν Φίλιππον, καὶ οὐκ εἶδεν αὐτὸν
οὐκέτι ὁ εὐνοῦχος· ἐπορεύετο γὰρ τὴν ὁδὸν
αὐτοῦ χαίρων.
40 Φίλιππος δὲ εὑρέθη εἰς Ἄζωτον, καὶ
διερχόμενος εὐηγγελίζετο τὰς πόλεις πάσας
ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς Καισάρειαν.

---

§ **8:36** βαπτισθηναι **f**[35] 𝔓[45]אA,B,C (88%) HF,RP,CP,NU ¦ βαπτισθηναι 37 ειπεν δε αυτω ει πιστευεις εξ ολης της καρδιας σου εξεστιν αποκριθεις δε ειπεν πιστευω τον υιον του θεου ειναι ιησουν χριστον (8.4%) ¦ βαπτισθηναι 37 ειπεν δε ο φιλιππος ει πιστευεις εξ ολης της καρδιας εξεστιν αποκριθεις δε ειπεν πιστευω τον υιον του θεου ειναι τον ιησουν χριστον (0.6%) OC,TR [actually, only cursive 1883 of the 16th century is identical to OC,TR—OC is in small print] ¦ four variations include ευνουχος and a 2nd αυτω before πιστευω (1.1%) ¦ four further variations (1.9%) (The addition appears in eighteen slightly different forms [the name 'Philip' appears in eleven MSS, or 2.3%]. Since Philip's house in Caesarea seems to have been something of a way-station for travelling Christians, he probably repeated the story hundreds of times; the information given in verse 37 is likely historically correct, but the Holy Spirit didn't have Luke include it in the inspired account.)

# 9

### *Saul of Tarsus*

1 Ὁ δὲ Σαῦλος, ἔτι ἐμπνέων ἀπειλῆς
καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου,
προσελθὼν τῷ ἀρχιερεῖ, 2 ᾐτήσατο παρʼ
αὐτοῦ ἐπιστολὰς εἰς Δαμασκὸν πρὸς τὰς
συναγωγάς, ὅπως ἐάν τινας εὕρῃ τῆς Ὁδοῦ
ὄντας, ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους
ἀγάγῃ εἰς Ἱερουσαλήμ.

### *Jesus chooses Saul*

3 Ἐν δὲ τῷ πορεύεσθαι, ἐγένετο αὐτὸν
ἐγγίζειν τῇ Δαμασκῷ, καὶ ἐξαίφνης*
περιήστραψεν αὐτὸν φῶς† ἀπὸ‡ τοῦ οὐρανοῦ·
4 καὶ πεσὼν ἐπὶ τὴν γῆν ἤκουσεν φωνὴν
λέγουσαν αὐτῷ, «Σαούλ, Σαούλ, τί με
διώκεις;» 5 Εἶπεν δέ, «Τίς εἶ, Κύριε;» Ὁ δὲ
Κύριος εἶπεν,§ «Ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ
διώκεις·* 6 ἀλλὰ† ἀνάστηθι καὶ εἴσελθε εἰς
τὴν πόλιν, καὶ λαληθήσεταί σοι‡ τί σε δεῖ
ποιεῖν.» 7 Οἱ δὲ ἄνδρες οἱ συνοδεύοντες αὐτῷ

---

* **9:3** και εξαιφνης **$f^{35}$** [96%] HF,RP,OC,TR,CP ¦ 2 τε (א)A(B,C) [4%] NU † **9:3** περιηστραψεν αυτον φως **$f^{35}$** [96%] HF,RP,OC,TR,CP ¦ 213 אB,C [4%] NU ¦ 231 A ‡ **9:3** απο **$f^{35}$** $\mathfrak{p}^{45}$ [92%] HF,RP,OC,TR,CP ¦ εκ אA,B,C [8%] NU § **9:5** κυριος ειπεν **$f^{35}$** [93%] HF,RP,OC,TR,CP ¦ 2 א [2%] ¦ — $\mathfrak{p}^{45}$A,B,C [3%] NU ¦ 2 προς αυτον [2%] * **9:5** διωκεις **$f^{35}$** $\mathfrak{p}^{45}$אA,B,C [99.9%] HF,RP,OC,CP,NU ¦ 1 σκληρον σοι προς κεντρα λακτιζειν τρεμων τε και θαμβων ειπε κυριε τι με θελεις ποιησαι και ο κυριος προς αυτον TR † **9:6** αλλα *rell* ¦ αλλ [8%] ¦ — TR ‡ **9:6** σοι **$f^{35}$** [96%] HF,RP,OC,TR,CP ¦ 1 ο אA,B,C [4%] NU

εἱστήκεισαν ἐνεοί,§ ἀκούοντες μὲν τῆς φωνῆς,
μηδένα δὲ θεωροῦντες. 8 Ἠγέρθη δὲ ὁ * Σαῦλος
ἀπὸ τῆς γῆς, ἀνεῳγμένων τε† τῶν ὀφθαλμῶν
αὐτοῦ, οὐδένα‡ ἔβλεπεν· χειραγωγοῦντες δὲ
αὐτὸν εἰσήγαγον εἰς Δαμασκόν. 9 Καὶ ἦν
ἡμέρας τρεῖς μὴ βλέπων, καὶ οὐκ ἔφαγεν οὐδὲ
ἔπιεν.

*Ananias sent to Saul*

10 Ἦν δέ τις μαθητὴς ἐν Δαμασκῷ ὀνόματι
Ἀνανίας,§ καὶ εἶπεν πρὸς αὐτὸν ὁ Κύριος ἐν
ὁράματι,* «Ἀνανία.» Ὁ δὲ εἶπεν, «Ἰδοὺ ἐγώ,
Κύριε.» 11 Ὁ δὲ Κύριος πρὸς αὐτόν· «Ἀναστὰς
πορεύθητι ἐπὶ τὴν ῥύμην τὴν καλουμένην
Εὐθεῖαν, καὶ ζήτησον ἐν οἰκίᾳ Ἰούδα Σαῦλον
ὀνόματι, Ταρσέα· ἰδοὺ γὰρ προσεύχεται, 12 καὶ
εἶδεν ἐν ὁράματι ἄνδρα† Ἀνανίαν ὀνόματι‡
εἰσελθόντα καὶ ἐπιθέντα αὐτῷ χεῖρα,§ ὅπως
ἀναβλέψῃ.» 13 Ἀπεκρίθη δὲ* Ἀνανίας· «Κύριε,

---

§ **9:7** ενεοι **f**$^{35}$ ℵA,B,C [60%] HF,RP,OC,NU ¦ εννεοι [40%] TR,CP * **9:8** ο **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C [3%] NU † **9:8** τε **f**$^{35}$ [88%] HF,RP,OC ¦ δε ℵA,B,C [12%] TR,CP,NU ‡ **9:8** ουδενα **f**$^{35}$ C [98%] HF,RP,OC,TR,CP ¦ ουδεν ℵA,B [2%] NU § **9:10** ἀνανιας **f**$^{35}$ [95%] RP,OC,TR,CP ¦ ἁνανιας [5%] HF,NU (This statement obtains for all occurrences of the name.) * **9:10** ο κυριος εν οραματι **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ 3412 ℵA,B,C [4%] NU † **9:12** εν οραματι ανδρα **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ 312 B,C [1%] [NU] ¦ 3 ℵA [2%] ¦ 12 [1%] ‡ **9:12** ανανιαν ονοματι **f**$^{35}$ ℵA,B,C [20%] NU ¦ 21 [80%] HF,RP,OC,TR,CP § **9:12** χειρα **f**$^{35}$ [91%] HF,RP,OC,TR,CP ¦ χειρας (ℵ)A,C [3%] ¦ τας χειρας B [1%] [NU] ¦ χειραν [5%] * **9:13** δε **f**$^{35}$ ℵA,B,C [95%] HF,RP,OC,CP,NU ¦ 1 ο [5%] TR

ἀκήκοα† ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου,
ὅσα κακὰ ἐποίησεν τοῖς ἁγίοις σου‡ ἐν
Ἱερουσαλήμ. 14 Καὶ ὧδε ἔχει ἐξουσίαν
παρὰ τῶν ἀρχιερέων δῆσαι πάντας τοὺς
ἐπικαλουμένους τὸ ὄνομά σου.» 15 Εἶπεν δὲ
πρὸς αὐτὸν ὁ Κύριος· «Πορεύου, ὅτι σκεῦος
ἐκλογῆς μοί ἐστιν§ οὗτος, τοῦ βαστάσαι τὸ
ὄνομά μου ἐνώπιον ἐθνῶν* καὶ βασιλέων,
υἱῶν τε Ἰσραήλ· 16 ἐγὼ γὰρ ὑποδείξω αὐτῷ
ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν.»
17 Ἀπῆλθεν δὲ Ἀνανίας καὶ εἰσῆλθεν εἰς τὴν
οἰκίαν, καὶ ἐπιθεὶς ἐπ᾽ αὐτὸν τὰς χεῖρας εἶπεν,
«Σαοὺλ ἀδελφέ, ὁ Κύριος ἀπέσταλκέν με,† ὁ
ὀφθείς σοι ἐν τῇ ὁδῷ ᾗ ἤρχου, ὅπως ἀναβλέψῃς
καὶ πλησθῇς‡ Πνεύματος Ἁγίου.» 18 Καὶ
εὐθέως ἀπέπεσον§ ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ*
ὡσεὶ† λεπίδες, ἀνέβλεψέν τε παραχρῆμα·‡ καὶ
ἀναστὰς ἐβαπτίσθη, 19 καὶ λαβὼν τροφὴν

---

† **9:13** ακηκοα **f**35 [97%] HF,RP,OC,TR,CP ¦ ηκουσα אA,B,C [3%] NU ‡ **9:13** εποιησεν τοις αγιοις σου **f**35 [96%] HF,RP,OC,TR,CP ¦ 2341 א(A)B,C [4%] NU § **9:15** μοι εστιν **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 21 אA,B,C [5%] NU * **9:15** εθνων **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 1 τε אA,B,C [5%] NU † **9:17** με **f**35 [90%] HF,RP ¦ 1 ιησους 𝔭45אA,B,C [10%] OC,TR,CP,NU ‡ **9:17** πλησθης *rell* ¦ πληςθεις [20%] § **9:18** απεπεσον **f**35 [91%] HF,RP,OC,TR,CP ¦ απεπεσαν אA,B,C [6%] NU ¦ απεπεσων [3%] * **9:18** απο των οφθαλμων αυτου **f**35 אC [98%] HF,RP,OC,TR,CP ¦ 4123 𝔭45vA,B [2%] NU † **9:18** ωσει **f**35 C [97%] HF,RP,OC,TR,CP ¦ ως 𝔭45אA,B [3%] NU ‡ **9:18** παραχρημα **f**35 [30%] TR,CP ¦ — 𝔭45אA,B,C [70%] HF,RP,OC,NU

ἐνίσχυσεν. Ἐγένετο δὲ ὁ Σαῦλος§ μετὰ τῶν*
ἐν Δαμασκῷ μαθητῶν ἡμέρας τινάς.

*Saul starts preaching*

20 Καὶ εὐθέως ἐν ταῖς συναγωγαῖς
ἐκήρυσσεν τὸν Ἰησοῦν,† ὅτι οὗτός ἐστιν
ὁ Υἱὸς τοῦ Θεοῦ. 21 Ἐξίσταντο δὲ πάντες
οἱ ἀκούοντες καὶ ἔλεγον· «Οὐχ οὗτός
ἐστιν ὁ πορθήσας, ἐν‡ Ἱερουσαλήμ, τοὺς
ἐπικαλουμένους τὸ ὄνομα τοῦτο; Καὶ ὧδε
εἰς τοῦτο ἐλήλυθεν,§ ἵνα δεδεμένους αὐτοὺς
ἀγάγῃ* ἐπὶ τοὺς ἀρχιερεῖς.» 22 Σαῦλος† δὲ
μᾶλλον ἐνεδυναμοῦτο καὶ συνέχυνεν‡ τοὺς§
Ἰουδαίους τοὺς κατοικοῦντας ἐν Δαμασκῷ,
συμβιβάζων ὅτι οὗτός ἐστιν ὁ Χριστός.

*Saul escapes death*

---

§ **9:19** ο σαυλος **f**[35] [87%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [6%] NU ¦ 2 [7%] * **9:19** των **f**[35] אA,B,C [35%] HF,RP,TR,CP,NU ¦ 1 οντων [65%] OC † **9:20** ιησουν **f**[35] 𝔭[45]אA,B,C [20%] OC,NU ¦ χριστον [80%] HF,RP,TR,CP [To teach that the Messiah was the Son of God would be 'old hat', no problem—but Saul was showing that Jesus was God's Son. Notice the end of verse 22, "this is the Christ"—what is the antecedent of "this"? To say that the Christ is the Christ would be stupid, which neither of the authors is.] ‡ **9:21** εν **f**[35] B,C [99%] HF,RP,OC,TR,CP ¦ εις אA [1%] NU § **9:21** εληλυθεν **f**[35] [96%] HF,RP,OC ¦ εληλυθει אA,B,C [4%] TR,CP,NU * **9:21** αγαγη *rell* ¦ αναγαγη 𝔭[45] [12%] ¦ απαγαγη [1%] ¦ αγαγει [7%] † **9:22** σαυλος *rell* ¦ παυλος [6%] CP ‡ **9:22** συνεχυνεν **f**[35] 𝔭[45]A [97%] HF,RP,OC,TR ¦ συνεχυννεν אB,C [1%] NU ¦ συνεχεε [2%] CP § **9:22** τους **f**[35] A,C [99%] HF,RP,OC,TR,CP[NU] ¦ — אB [1%]

23 Ὡς δὲ ἐπληροῦντο ἡμέραι ἱκαναί,
συνεβουλεύσαντο οἱ Ἰουδαῖοι ἀνελεῖν αὐτόν·
24 ἐγνώσθη δὲ τῷ Σαύλῳ ἡ ἐπιβουλὴ αὐτῶν.
Παρετήρουν* τε† τὰς πύλας ἡμέρας τε‡ καὶ
νυκτὸς ὅπως αὐτὸν ἀνέλωσιν· 25 λαβόντες δὲ
αὐτὸν οἱ μαθηταὶ§ νυκτός, καθῆκαν διὰ τοῦ
τείχους,* χαλάσαντες ἐν σπυρίδι.

### *Barnabas vouches for Saul*

26 Παραγενόμενος δὲ ὁ Σαῦλος† ἐν‡
Ἱερουσαλήμ, ἐπειρᾶτο§ κολλᾶσθαι τοῖς
μαθηταῖς· καὶ πάντες ἐφοβοῦντο αὐτόν, μὴ
πιστεύοντες ὅτι ἐστὶν μαθητής. 27 Βαρνάβας
δὲ ἐπιλαβόμενος αὐτὸν ἤγαγεν πρὸς τοὺς
ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς πῶς ἐν
τῇ ὁδῷ εἶδεν* τὸν Κύριον, καὶ ὅτι ἐλάλησεν
αὐτῷ, καὶ πῶς ἐν Δαμασκῷ ἐπαρρησιάσατο ἐν
τῷ ὀνόματι τοῦ Κυρίου† Ἰησοῦ. 28 Καὶ ἦν μετ᾽

---

* **9:24** παρετηρουν **f**35 [95%] HF,RP,OC,TR,CP ¦ παρετηρουντο ℵA,B,C [5%] NU † **9:24** τε **f**35 [94%] HF,RP,OC,TR,CP ¦ δε και ℵA,B,C [4%] NU ¦ δε [2%] ‡ **9:24** τε *rell* ¦ — (A) [24%] § **9:25** αυτον οι μαθηται **f**35 (87.1%) HF,RP,OC,TR,CP ¦ 231 (3%) ¦ 123 δια της (1.9%) ¦ 23 αυτου ℵA,B,C (1.9%) NU ¦ 23 (4.7%) ¦ 123 αυτου (0.8%) ¦ one other reading (0.6%) * **9:25** καθηκαν δια του τειχους **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 2341 αυτον (ℵ)A,B,C [5%] NU † **9:26** ο σαυλος **f**35 [92%] HF,RP,OC,TR,CP ¦ 1 παυλος [5%] ¦ — ℵA,B,C [3%] NU ‡ **9:26** εν **f**35 [86%] HF,RP,CP ¦ εις 𝔓45ℵA,B,C [14%] OC,TR,NU § **9:26** επειρατο **f**35 [98%] HF,RP,OC,TR,CP ¦ επειραζεν ℵA,B,C [2%] NU * **9:27** ειδεν *rell* ¦ ιδεν A [12%] † **9:27** κυριου **f**35 (A) [45%] ¦ — ℵB,C [55%] HF,RP,OC,TR,CP,NU

αὐτῶν εἰσπορευόμενος καὶ ἐκπορευόμενος‡
ἐν§ Ἱερουσαλήμ, καὶ* παρρησιαζόμενος ἐν
τῷ ὀνόματι τοῦ Ἰησοῦ.† 29 Ἐλάλει‡ τε καὶ
συνεζήτει πρὸς τοὺς Ἑλληνιστάς· οἱ δὲ
ἐπεχείρουν ἀνελεῖν αὐτὸν.§ 30 Ἐπιγνόντες* δὲ
οἱ ἀδελφοί, κατήγαγον αὐτὸν εἰς Καισάρειαν
καὶ ἐξαπέστειλαν† εἰς Ταρσόν.

### *A brief respite*

31 Αἱ μὲν οὖν ἐκκλησίαι‡ καθ᾽ ὅλης τῆς
Ἰουδαίας καὶ Γαλιλαίας, καὶ Σαμαρείας,
εἶχον§ εἰρήνην οἰκοδομούμεναι· καὶ
πορευόμεναι* τῷ φόβῳ τοῦ Κυρίου καὶ
τῇ παρακλήσει τοῦ Ἁγίου Πνεύματος
ἐπληθύνοντο.†

### *Peter's ministry*

---

‡ **9:28** και εκπορευομενος **f**$^{35}$ ℵA,B,C [20%] OC,TR,NU ¦ — [80%] HF,RP,CP (An easy case of homoioteleuton.) § **9:28** εν **f**$^{35}$ [30%] OC,TR ¦ εις ℵA,B,C [70%] HF,RP,CP,NU * **9:28** και **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C [4%] NU † **9:28** ιησου **f**$^{35}$ (C) [24%] ¦ κυριου 1 [67%] HF,RP,OC,TR,CP ¦ κυριου ℵA,B [8%] NU ¦ — [1%] ‡ **9:29** ελαλει *rell* ¦ ελαλη [25%] § **9:29** ανελειν αυτον **f**$^{35}$ ℵ(A)B(C) [20%] NU ¦ 21 [80%] HF,RP,OC,TR,CP * **9:30** επιγνοντες *rell* ¦ επιγνωντες [35%] † **9:30** εξαπεστειλαν **f**$^{35}$ A [20%] ¦ 1 αυτον ℵB,C [80%] HF,RP,OC,TR,CP,NU ‡ **9:31** αι μεν ουν εκκλησιαι **f**$^{35}$ (91.7%) HF,RP,OC,TR,CP ¦ η 23 εκκλησια ℵA,B,C (8.3%) NU (This set and the next three go together, singular vs plural.) § **9:31** ειχον **f**$^{35}$ (91.9%) HF,RP,OC,TR,CP ¦ ειχεν ℵA,B,C (8.1%) NU * **9:31** οικοδομουμεναι και πορευομεναι **f**$^{35}$ (91.1%) HF,RP,OC,TR,CP ¦ οικοδομουμενοι 2 πορευομενοι (0.8%) ¦ οικοδομουμενη 2 πορευομενη ℵA,B,C (8.1%) NU † **9:31** επληθυνοντο **f**$^{35}$ (90.7%) HF,RP,OC,TR,CP ¦ επληθυνετο ℵA,B,C (9.3%) NU

32 Ἐγένετο δέ, Πέτρον διερχόμενον διὰ
πάντων, κατελθεῖν καὶ πρὸς τοὺς ἁγίους τοὺς
κατοικοῦντας Λύδδαν.‡

*Peter heals Aeneas*

33 Εὗρεν δὲ ἐκεῖ ἄνθρωπόν τινα Αἰνέαν
ὀνόματι§ ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ
κραββάτῳ,* ὃς ἦν παραλελυμένος. 34 Καὶ
εἶπεν αὐτῷ ὁ Πέτρος· «Αἰνέα, ἰᾶταί σε
Ἰησοῦς ὁ † Χριστός. Ἀνάστηθι καὶ στρῶσον
σεαυτῷ.» Καὶ εὐθέως ἀνέστη. 35 Καὶ εἶδον‡
αὐτὸν πάντες οἱ κατοικοῦντες Λύδδαν§ καὶ
τὸν* Ἀσσάρωνα,† οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν
Κύριον.

*Peter raises Dorcas*

36 Ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια ὀνόματι
Ταβηθά,‡ ἣ διερμηνευομένη λέγεται Δορκάς·
αὕτη ἦν πλήρης ἀγαθῶν ἔργων§ καὶ

---

‡ **9:32** λυδδαν **f**[35] C [75%] HF,RP,OC,TR ¦ λυδδα (א)A,B [2%] NU ¦ λυδαν [23%] CP § **9:33** αινεαν ονοματι **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ 21 אA,B(C) [4%] NU ¦ 1 [1%] * **9:33** κραββατω **f**[35] [43%] HF,RP,TR,CP ¦ κραβατω [16%] ¦ κραβαττω [22%] OC ¦ κραβαττου אA,B,C [2%] NU ¦ κραββατου [5%] ¦ three further spellings [2%] † **9:34** ο **f**[35] A [98%] HF,RP,OC,TR,CP ¦ — אB,C [2%] NU ‡ **9:35** ειδον *rell* ¦ ειδαν A,B,C [1%] NU ¦ ιδον [9%] § **9:35** λυδδαν **f**[35] 𝔭[53]C [80%] HF,RP,OC,TR ¦ λυδδα אA,B [5%] NU ¦ λυδαν [15%] CP * **9:35** τον *rell* ¦ την CP ¦ — 𝔭[53]א † **9:35** ασσαρωνα **f**[35] [65%] HF,RP ¦ σαρωνα 𝔭[53]B,C [17%] OC,NU ¦ σαρρωνα אA ¦ σαρωναν 𝔭[45] [5%] TR,CP ¦ ασαρωνα [12%] ‡ **9:36** ταβηθα **f**[35] [54%] RP ¦ ταβιθα אA [45%] HF,OC,TR,CP,NU ¦ ταβειθα 𝔭[45,53]B,C [1%] § **9:36** αγαθων εργων **f**[35] 𝔭[53]אA [93%] HF,RP,OC,TR,CP ¦ 21 𝔭[45]B,C [2%] NU ¦ 1 [5%]

ἐλεημοσυνῶν ὧν ἐποίει. 37 Ἐγένετο δὲ ἐν
ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν
ἀποθανεῖν· λούσαντες δὲ αὐτὴν ἔθηκαν* ἐν
τῷ† ὑπερῴῳ. 38 Ἐγγὺς δὲ οὔσης Λύδδης‡ τῇ
Ἰόππῃ, οἱ μαθηταί, ἀκούσαντες ὅτι Πέτρος
ἐστὶν ἐν αὐτῇ, ἀπέστειλαν§ πρὸς αὐτὸν
παρακαλοῦντες μὴ ὀκνῆσαι* διελθεῖν ἕως
αὐτῶν.† 39 Ἀναστὰς δὲ Πέτρος συνῆλθεν
αὐτοῖς· ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ
ὑπερῷον, καὶ παρέστησαν αὐτῷ πᾶσαι αἱ
χῆραι κλαίουσαι καὶ ἐπιδεικνύμεναι χιτῶνας
καὶ ἱμάτια ὅσα ἐποίει μετʼ αὐτῶν οὖσα ἡ
Δορκάς. 40 Ἐκβαλὼν δὲ ἔξω πάντας, ὁ Πέτρος‡
θεὶς τὰ γόνατα προσηύξατο, καὶ ἐπιστρέψας
πρὸς τὸ σῶμα εἶπεν, «Ταβηθά,§ ἀνάστηθι.»
Ἡ δὲ ἤνοιξεν τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ
ἰδοῦσα τὸν Πέτρον ἀνεκάθισεν.* 41 Δοὺς δὲ
αὐτῇ χεῖρα ἀνέστησεν αὐτήν, φωνήσας δὲ
τοὺς ἁγίους καὶ τὰς χήρας παρέστησεν αὐτὴν

---

* **9:37** αυτην εθηκαν **f**35 𝔓45,53C [97%] HF,RP,OC,TR,CP ¦ 21 אA [3%] [NU] ¦ 2 B † **9:37** τω **f**35 𝔓53A,C [20%] ¦ — 𝔓45אB [80%] HF,RP,OC,TR,CP,NU (‘the’ upper room, of her house.) ‡ **9:38** λυδδης **f**35 [87%] HF,RP,OC,TR ¦ λυδδας 𝔓53אB,C [2%] NU ¦ λυδδα A ¦ λυνδα 𝔓45v ¦ λυδης [5%] CP ¦ λυδδη [5%] § **9:38** απεστειλαν **f**35 [92%] HF,RP ¦ 1 δυο ανδρας 𝔓45אA,B,C [8%] OC,TR,CP,NU (OC is in small print.) * **9:38** οκνησαι **f**35 𝔓45 [97%] HF,RP,OC,TR,CP ¦ οκνησης אA,B,C [3%] NU † **9:38** αυτων **f**35 𝔓45v [97%] HF,RP,OC,TR,CP ¦ ημων אA,B,C [3%] NU ‡ **9:40** πετρος **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 1 και 𝔓45אA,B,C [5%] NU § **9:40** ταβηθα **f**35 [50%] RP ¦ ταβιθα אA,C [50%] HF,OC,TR,CP,NU ¦ ταβειθα B * **9:40** ανεκαθισεν *rell* ¦ ανεκαθησεν [15%] ¦ ανεκαθεισεν A ¦ ανεκαθισαι [5%]

ζῶσαν. 42 Γνωστὸν δὲ ἐγένετο καθ᾽ ὅλης
τῆς Ἰόππης, καὶ πολλοὶ ἐπίστευσαν† ἐπὶ τὸν
Κύριον. 43 Ἐγένετο δὲ αὐτὸν ἡμέρας ἱκανὰς
μεῖναι‡ ἐν Ἰόππῃ παρά τινι Σίμωνι, βυρσεῖ.

# 10

*The case of Cornelius*

1 Ἀνὴρ δέ τις ἦν* ἐν Καισαρείᾳ ὀνόματι
Κορνήλιος, ἑκατοντάρχης ἐκ σπείρας†
τῆς καλουμένης Ἰταλικῆς, 2 εὐσεβὴς καὶ
φοβούμενος τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ
αὐτοῦ, ποιῶν τε‡ ἐλεημοσύνας πολλὰς τῷ
λαῷ καὶ δεόμενος τοῦ Θεοῦ διὰ παντός.
3 Εἶδεν ἐν ὁράματι φανερῶς, ὡσεὶ§ ὥραν
ἐνάτην* τῆς ἡμέρας, ἄγγελον τοῦ Θεοῦ
εἰσελθόντα πρὸς αὐτὸν καὶ εἰπόντα αὐτῷ,
«Κορνήλιε.» 4 Ὁ δέ, ἀτενίσας αὐτῷ καὶ
ἔμφοβος γενόμενος, εἶπεν, «Τί ἐστιν, Κύριε;»
Εἶπεν δὲ αὐτῷ· «Αἱ προσευχαί σου καὶ αἱ
ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον
ἐνώπιον† τοῦ Θεοῦ. 5 Καὶ νῦν πέμψον εἰς

† **9:42** πολλοι επιστευσαν **f**35 [96%] HF,RP,OC,TR,CP ¦ 21 𝔓53אA,B,C [4%] NU ‡ **9:43** αυτον ημερας ικανας μειναι **f**35 A [20%] ¦ 2341 [79%] HF,RP,OC,TR,CP ¦ 234 𝔓53אB [1%] NU ¦ 2 τινας 41 C * **10:1** ην **f**35 [65%] HF,RP,TR,CP ¦ — אA,B,C [35%] OC,NU † **10:1** σπειρας **f**35 B [45%] ¦ σπειρης אA,C [55%] HF,RP,OC,TR,CP,NU ‡ **10:2** τε **f**35 [96%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [4%] NU § **10:3** ωσει **f**35 [85%] HF,RP,OC,TR ¦ 1 περι A,B,C [5%] NU ¦ ως [6%] CP ¦ ως περι א [3%] ¦ περι [1%] * **10:3** ενατην **f**35 אA,B,C [65%] HF,RP,OC,NU ¦ εννατην [35%] CP,TR † **10:4** ενωπιον **f**35 C [97%] HF,RP,OC,TR,CP ¦ εμπροσθεν אA,B [3%] NU

Ἰόππην ἄνδρας‡ καὶ μετάπεμψαι Σίμωνα,§
ὃς ἐπικαλεῖται Πέτρος·* 6 οὗτος ξενίζεται
παρά τινι Σίμωνι, βυρσεῖ, ᾧ ἐστιν οἰκία παρὰ
θάλασσαν.»† 7 Ὡς δὲ ἀπῆλθεν ὁ ἄγγελος ὁ
‡ λαλῶν τῷ Κορνηλίῳ,§ φωνήσας δύο τῶν
οἰκετῶν αὐτοῦ* καὶ στρατιώτην εὐσεβῆ τῶν
προσκαρτερούντων αὐτῷ, 8 καὶ ἐξηγησάμενος
αὐτοῖς ἅπαντα† ἀπέστειλεν αὐτοὺς εἰς τὴν‡
Ἰόππην.

### *God prepares Peter*

9 Τῇ δὲ ἐπαύριον, ὁδοιπορούντων ἐκείνων
καὶ τῇ πόλει ἐγγιζόντων, ἀνέβη Πέτρος
ἐπὶ τὸ δῶμα προσεύξασθαι περὶ ὥραν
ἕκτην. 10 Ἐγένετο δὲ πρόσπεινος καὶ ἤθελεν
γεύσασθαι· παρασκευαζόντων δὲ ἐκείνων,§
ἐπέπεσεν* ἐπʼ αὐτὸν ἔκστασις, 11 καὶ θεωρεῖ
τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ καταβαῖνον

---

‡ **10:5** εις ιοππην ανδρας **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 312 ℵA,B,C [5%] NU § **10:5** σιμωνα **f**35 ℵ [97%] HF,RP,OC,TR ¦ 1 τινα A,B,C [3%] CP,NU * **10:5** ος επικαλειται πετρος **f**35 ℵ(A)B,C [20%] CP,TR,NU ¦ τον επικαλουμενον πετρον [80%] HF,RP,OC † **10:6** θαλασσαν **f**35 ℵA,B,C [95%] HF,RP,OC,CP,NU ¦ 1 ουτος λαλησει σοι τι σε δει ποιειν [5%] TR ‡ **10:7** ο *rell* ¦ — [30%] § **10:7** τω κορνηλιω **f**35 [95%] HF,RP,OC,TR,CP ¦ αυτω ℵA,B,C [5%] NU * **10:7** αυτου **f**35 [97%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C [3%] NU † **10:8** αυτοις απαντα **f**35 C [96%] HF,RP,OC,TR,CP ¦ 21 ℵA,B [4%] NU ‡ **10:8** την *rell* ¦ — [8%] CP § **10:10** εκεινων **f**35 [93%] HF,RP,OC,TR,CP ¦ αυτων 𝔓45ℵA,B,C [7%] NU * **10:10** επεπεσεν **f**35 (78.4%) HF,RP,OC,TR,CP ¦ επεσεν (10.4%) ¦ εγενετο ℵA,B,C (11%) NU ¦ ηλθεν 𝔓45

ἐπʼ αὐτὸν† σκεῦός τι ὡς ὀθόνην μεγάλην—
τέσσαρσιν ἀρχαῖς δεδεμένον, καὶ καθιέμενον‡
ἐπὶ τῆς γῆς— 12 ἐν ᾧ ὑπῆρχεν πάντα τὰ
τετράποδα τῆς γῆς (καὶ τὰ θηρία καὶ τὰ
ἑρπετά) καὶ τὰ πετεινὰ§ τοῦ οὐρανοῦ. 13 Καὶ
ἐγένετο φωνὴ πρὸς αὐτόν, «Ἀναστάς, Πέτρε,
θῦσον καὶ φάγε.» 14 Ὁ δὲ Πέτρος εἶπεν·
«Μηδαμῶς, Κύριε· ὅτι οὐδέποτε ἔφαγον πᾶν
κοινὸν ἢ * ἀκάθαρτον.» 15 Καὶ φωνὴ πάλιν ἐκ
δευτέρου πρὸς αὐτόν, «Ἃ ὁ Θεὸς ἐκαθάρισεν,
σὺ μὴ κοίνου.» 16 Τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς,†
καὶ πάλιν‡ ἀνελήφθη§ τὸ σκεῦος εἰς τὸν
οὐρανόν.

### *The messengers arrive*

17 Ὡς δὲ ἐν ἑαυτῷ διηπόρει ὁ Πέτρος
τί ἂν εἴη τὸ ὅραμα ὃ εἶδεν, καὶ* ἰδού, οἱ

---

† **10:11** καταβαινον επ αυτον **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ 1 אA,B,C [7%] NU ¦ — 𝔓[45] [1%] ‡ **10:11** δεδεμενον και καθιεμενον **f**[35] (𝔓[45])(C) (92.5%) HF,RP,OC,TR,CP ¦ 3 אA(B) (4.1%) NU ¦ 1 (1.1%) ¦ δεδεμενην 2 καθιεμενην (1.3%) ¦ conflations (0.9%) ¦ one other variant (0.2%) § **10:12** τετραποδα της γης και τα θηρια και τα ερπετα και τα πετεινα **f**[35] (80.9%) HF,RP,OC,TR,CP ¦ 1,4-9,2-3, 10-12 C (7.5%) ¦ 1,7-9,2-3,10-12 (4.3%) ¦ 1,7,9,2-3,10,12 𝔓[45v]אA,B (1.5%) NU ¦ 1,2-5,9-12 (0.6%) ¦ six variations place the five nouns—quadrupeds, earth, beasts, reptiles, birds—in different sequences (3%) ¦ two conflations (0.9%) ¦ two other variants (1.3%) * **10:14** η **f**[35] C [95%] HF,RP,OC,TR,CP ¦ και 𝔓[45]אA,B [5%] NU † **10:16** τρις *rell* ¦ τρεις אA [25%] ‡ **10:16** παλιν **f**[35] (D) [96%] HF,RP,OC,TR,CP ¦ ευθυς אA,B,C [4%] NU ¦ — 𝔓[45] [1%] § **10:16** ανεληφθη **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ ανελημφθη 𝔓[45]אA,B(D) [3%] NU * **10:17** και **f**[35] C,D [96%] HF,RP,OC,TR,CP ¦ — 𝔓[45]אA,B [4%] NU

ἄνδρες οἱ ἀπεσταλμένοι ὑπὸ† τοῦ Κορνηλίου,
διερωτήσαντες‡ τὴν οἰκίαν§ Σίμωνος,
ἐπέστησαν ἐπὶ τὸν πυλῶνα, 18 καὶ φωνήσαντες
ἐπυνθάνοντο εἰ Σίμων, ὁ * ἐπικαλούμενος†
Πέτρος, ἐνθάδε ξενίζεται. 19 Τοῦ δὲ Πέτρου
διενθυμουμένου‡ περὶ τοῦ ὁράματος εἶπεν
αὐτῷ τὸ Πνεῦμα·§ «Ἰδού, ἄνδρες* ζητοῦσίν†
σε· 20 ἀλλὰ‡ ἀναστὰς κατάβηθι, καὶ πορεύου
σὺν αὐτοῖς μηδὲν διακρινόμενος, διότι§
ἐγὼ ἀπέσταλκα αὐτούς.» 21 Καταβὰς δὲ*
Πέτρος πρὸς τοὺς ἄνδρας,† εἶπεν·‡ «Ἰδού,
ἐγώ εἰμι ὃν ζητεῖτε. Τίς ἡ αἰτία δι᾽ ἣν
πάρεστε;» 22 Οἱ δὲ εἶπον·§ «Κορνήλιος,
ἑκατοντάρχης, ἀνὴρ δίκαιος καὶ φοβούμενος
τὸν Θεόν, μαρτυρούμενός τε ὑπὸ ὅλου*

† **10:17** υπο **f35** ℵB [30%] NU ¦ απο A,C,D [70%] HF,RP,OC,TR,CP ‡ **10:17** διερωτησαντες **f35** 𝔭45ℵA,B,C,D [95%] HF,RP,OC,TR,NU ¦ 1 και μαθοντες [5%] CP § **10:17** οικιαν **f35** [92%] HF,RP,OC,TR,CP ¦ 1 του 𝔭45ℵA,B,C,D [8%] NU * **10:18** ο *rell* ¦ — CP † **10:18** επικαλουμενος *rell* ¦ καλουμενος [12%] ‡ **10:19** διενθυμουμενου *rell* ¦ ενθυμουμενου [5%] TR ¦ διενθυμενου ℵ § **10:19** αυτω το πνευμα **f35** 𝔭45D,0244 (95.8%) HF,RP,OC,TR,CP[NU] ¦ 231 ℵA(C) (4%) ¦ 23 B * **10:19** ανδρες **f35** D [95%] HF,RP ¦ 1 τρεις (ℵ)A(C) [5%] OC,TR,CP,NU ¦ 1 δυο B (OC is in small print) † **10:19** ζητουσιν **f35** 𝔭45A,C,D [98%] HF,RP,OC,TR,CP ¦ ζητουντες ℵB [2%] NU ‡ **10:20** αλλα *rell* ¦ αλλ [13%] § **10:20** διοτι **f35** [90%] HF,RP,OC,TR,CP ¦ οτι ℵA,B,C,D [10%] NU * **10:21** δε *rell* ¦ 1 ο (D) [10%] † **10:21** τους ανδρας **f35** 𝔭45vℵA,B [65%] HF,RP,OC,NU ¦ αυτους C ¦ 12 τους απεσταλμενους απο (+του [5%] TR) κορνηλιου προς αυτον (αυτους [15%]) (−π.α. CP) [35%] (CP)(TR) ‡ **10:21** ειπεν *rell* ¦ 1 προς αυτους CP § **10:22** ειπον *rell* ¦ ειπαν ℵA,B,C [2%] NU * **10:22** ολου *rell* ¦ οχλου CP

τοῦ ἔθνους τῶν Ἰουδαίων, ἐχρηματίσθη ὑπὸ ἀγγέλου† μεταπέμψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ καὶ ἀκοῦσαι ῥήματα παρὰ σοῦ.»
23 Εἰσκαλεσάμενος οὖν αὐτοὺς ἐξένισεν.

### *On to Caesarea*

Τῇ δὲ ἐπαύριον‡ ὁ Πέτρος§ ἐξῆλθεν σὺν αὐτοῖς, καί τινες τῶν ἀδελφῶν τῶν ἀπὸ* Ἰόππης συνῆλθον αὐτῷ·
24 καὶ τῇ† ἐπαύριον εἰσῆλθον‡ εἰς τὴν Καισάρειαν. Ὁ δὲ Κορνήλιος ἦν προσδοκῶν αὐτούς, συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους.
25 Ὡς δὲ ἐγένετο τοῦ§ εἰσελθεῖν τὸν Πέτρον,* συναντήσας αὐτῷ ὁ Κορνήλιος, πεσὼν ἐπὶ τοὺς πόδας προσεκύνησεν.
26 Ὁ δὲ Πέτρος ἤγειρεν αὐτόν,† λέγων· «Ἀνάστηθι· κἀγὼ αὐτὸς‡ ἄνθρωπός εἰμι.»
27 Καὶ συνομιλῶν αὐτῷ εἰσῆλθεν, καὶ εὑρίσκει συνεληλυθότας

---

† **10:22** αγγελου **f**[35] [20%] ¦ 1 αγιου אA,B,C,D [80%] HF,RP,OC,TR,CP,NU ‡ **10:23** επαυριον **f**[35] [80%] HF,RP,TR,CP ¦ 1 αναστας 𝔓[45]אA,B,C,D [20%] OC,NU § **10:23** ο πετρος **f**[35] C [92%] HF,RP,TR,CP ¦ — אA,B,D [8%] OC,NU * **10:23** απο **f**[35] אA,B,C,D [95%] HF,RP,CP,NU ¦ 1 της [5%] OC,TR (OC is in small print) † **10:24** και τη **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ 2 δε אA,B,C,D [4%] NU ‡ **10:24** εισηλθον **f**[35] A [89%] HF,RP,OC,TR,CP ¦ εισηλθεν B,D [10%] NU ¦ εισηλθαν אC [1%] § **10:25** του **f**[35] אA,B,C (87.6%) HF,RP,OC,NU ¦ — (12.2%) TR,CP ¦ a long addition D * **10:25** εισελθειν τον πετρον **f**[35] (א)(A)B,C (81.9%) HF,RP,OC,TR,NU ¦ 13 (1.7%) ¦ ελθειν 23 (15%) CP ¦ ελθειν 3 (1.3%) ¦ a long addition D † **10:26** ηγειρεν αυτον **f**[35] אA,B,C,D [25%] HF,CP,NU ¦ 21 [75%] RP,OC,TR ‡ **10:26** καγω αυτος **f**[35] A [93%] HF,RP,OC,TR,CP ¦ και εγω 2 אB [1%] NU ¦ και 2 εγω C ¦ 1 D ¦ και γαρ εγω 2 [4%] ¦ και γαρ εγω [1%]

πολλούς. 28 Ἔφη τε πρὸς αὐτούς· «Ὑμεῖς
ἐπίστασθε ὡς ἀθέμιτόν§ ἐστιν ἀνδρὶ Ἰουδαίῳ
κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ·
καὶ ἐμοὶ* ὁ Θεὸς ἔδειξεν μηδένα κοινὸν
ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον. 29 Διὸ
καὶ ἀναντιρρήτως ἦλθον μεταπεμφθείς.
Πυνθάνομαι οὖν, τίνι λόγῳ μετεπέμψασθέ†
με;»
30 Καὶ ὁ Κορνήλιος ἔφη· «Ἀπὸ τετάρτης
ἡμέρας μέχρι ταύτης τῆς ὥρας ἤμην νηστεύων·
καὶ τὴν‡ ἐνάτην§ ὥραν* προσευχόμενος
ἐν τῷ οἴκῳ μου, καὶ ἰδού, ἀνὴρ ἔστη
ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ 31 καί φησιν·
‹Κορνήλιε, εἰσηκούσθη σου ἡ προσευχὴ καὶ
αἱ ἐλεημοσύναι σου ἐμνήσθησαν ἐνώπιον
τοῦ Θεοῦ. 32 Πέμψον οὖν εἰς Ἰόππην καὶ
μετακάλεσαι Σίμωνα, ὃς ἐπικαλεῖται Πέτρος.
Οὗτος ξενίζεται ἐν οἰκίᾳ Σίμωνος, βυρσέως,
παρὰ θάλασσαν· ὃς παραγενόμενος λαλήσει
σοι.›† 33 Ἐξαυτῆς οὖν ἔπεμψα πρός σε, σύ τε
καλῶς ἐποίησας παραγενόμενος. Νῦν οὖν,
πάντες ἡμεῖς ἐνώπιον τοῦ Θεοῦ πάρεσμεν

---

§ **10:28** αθεμιτον *rell* ¦ αθεμητον [12%] ¦ αθεμιστον D * **10:28** και εμοι $\mathbf{f}^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ καμοι אA,B,C,D [4%] NU † **10:29** μετεπεμψασθε *rell* ¦ μετεπεμψασθαι אA,D [15%] ‡ **10:30** νηστευων και την $\mathbf{f}^{35}$ $\mathfrak{P}^{50}$ (95.2%) HF,RP,OC,TR,CP ¦ 13 D (0.4%) ¦ 1 (1.1%) ¦ 3 אA,B,C (3.4%) NU § **10:30** ενατην *rell* ¦ ενyατην [35%] CP,TR * **10:30** ωραν $\mathbf{f}^{35}$ (94.7%) HF,RP,OC,TR,CP ¦ — $\mathfrak{P}^{50}$אA,B,C (4%) NU ¦ και (1.1%) ¦ τε D † **10:32** ος παραγενομενος λαλησει σοι $\mathbf{f}^{35}$ C,D (94.1%) HF,RP,OC,TR,CP ¦ — $\mathfrak{P}^{45}$אA,B (4.6%) NU ¦ three other variants (1.3%)

ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ Θεοῦ.»‡

### *Peter preaches*

34 Ἀνοίξας δὲ Πέτρος τὸ στόμα§ εἶπεν·
«Ἐπ᾽ ἀληθείας καταλαμβάνομαι ὅτι οὐκ ἔστιν προσωπολήπτης* ὁ Θεός,
35 ἀλλ᾽ ἐν παντὶ ἔθνει† ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην δεκτὸς αὐτῷ ἐστιν.
36 Τὸν λόγον ὃν‡ ἀπέστειλεν τοῖς υἱοῖς Ἰσραήλ, εὐαγγελιζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ —οὗτός ἐστιν πάντων Κύριος—
37 ὑμεῖς οἴδατε, τὸ γενόμενον ῥῆμα καθ᾽ ὅλης τῆς Ἰουδαίας, ἀρξάμενον§ ἀπὸ τῆς Γαλιλαίας, μετὰ τὸ βάπτισμα, ὃ ἐκήρυξεν Ἰωάννης·
38 Ἰησοῦν τὸν ἀπὸ Ναζαρέτ,* ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς Πνεύματι Ἁγίῳ καὶ δυνάμει, ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου, ὅτι ὁ Θεὸς ἦν μετ᾽ αὐτοῦ
39 —καὶ ἡμεῖς ἐσμεν† μάρτυρες πάντων ὧν ἐποίησεν, ἔν τε τῇ χώρᾳ

---

‡ **10:33** θεου **f**35 D [95%] HF,RP,OC,TR,CP ¦ κυριου 𝔭45אA,B,C [5%] NU § **10:34** στομα *rell* ¦ 1 αυτου A,C [5%] OC (in small print) * **10:34** προσωποληπτης *rell* ¦ προσωπολημπτης 𝔭45אA,B,C,D [3%] NU ¦ three further spellings † **10:35** εθνει *rell* ¦ εθνη [25%] ¦ εθνι אD ‡ **10:36** ον **f**35 אC,D [98%] HF,RP,OC,TR,CP[NU] ¦ — A,B [2%] § **10:37** αρξαμενον **f**35 𝔭45 [93%] HF,RP,OC,TR,CP ¦ αρξαμενος א(A)B,C(D) [7%] NU * **10:38** ναζαρετ **f**35 A [80%] HF,RP,OC,TR,CP ¦ ναζαρεθ 𝔭45אB,C,D [20%] NU † **10:39** εσμεν **f**35 [96%] HF,RP,OC,TR,CP ¦ — אA,B,C,D [4%] NU

τῶν Ἰουδαίων καὶ ἐν‡ Ἱερουσαλήμ—ὃν καὶ§
ἀνεῖλον,* κρεμάσαντες ἐπὶ ξύλου. 40 Τοῦτον
ὁ Θεὸς ἤγειρεν† τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἔδωκεν
αὐτὸν ἐμφανῆ γενέσθαι, 41 οὐ παντὶ τῷ λαῷ,
ἀλλὰ μάρτυσιν τοῖς προκεχειροτονημένοις
ὑπὸ τοῦ Θεοῦ, ἡμῖν, οἵτινες συνεφάγομεν καὶ
συνεπίομεν αὐτῷ μετὰ τὸ ἀναστῆναι αὐτὸν
ἐκ νεκρῶν. 42 Καὶ παρήγγειλεν ἡμῖν κηρῦξαι
τῷ λαῷ, καὶ διαμαρτύρασθαι ὅτι αὐτός‡ ἐστιν
ὁ ὡρισμένος ὑπὸ τοῦ Θεοῦ Κριτὴς ζώντων
καὶ νεκρῶν. 43 Τούτῳ πάντες οἱ προφῆται
μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ
τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς
αὐτόν.»

### *The Holy Spirit falls*

44 Ἔτι§ λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα
ταῦτα, ἐπέπεσεν τὸ Πνεῦμα τὸ Ἅγιον ἐπὶ
πάντας τοὺς ἀκούοντας τὸν λόγον. 45 Καὶ
ἐξέστησαν οἱ ἐκ περιτομῆς πιστοὶ ὅσοι
συνῆλθον* τῷ Πέτρῳ, ὅτι καὶ ἐπὶ τὰ ἔθνη
ἡ δωρεὰ τοῦ Ἁγίου Πνεύματος ἐκκέχυται·
46 ἤκουον γὰρ αὐτῶν λαλούντων γλώσσαις
καὶ μεγαλυνόντων τὸν Θεόν. Τότε ἀπεκρίθη
ὁ † Πέτρος· 47 «Μήτι τὸ ὕδωρ κωλῦσαι δύναταί

‡ **10:39** εν **f**$^{35}$ ℵA,C [95%] HF,RP,OC,TR,CP[NU] ¦ — B,D [5%] § **10:39** και **f**$^{35}$ ℵA,B,C [95%] HF,RP,OC,CP,NU ¦ — [5%] TR * **10:39** ανειλον *rell* ¦ ανειλαν (ℵ)A,B,C,D [4%] NU † **10:40** ηγειρεν **f**$^{35}$ A,B [99%] HF,RP,OC,TR,CP ¦ 1 εν ℵC [1%] [NU] ¦ 1 μετα (D) ‡ **10:42** αυτος **f**$^{35}$ ℵA [90%] HF,RP,OC,TR,CP ¦ ουτος B,C,D [10%] NU § **10:44** ετι *rell* ¦ 1 δε [15%] * **10:45** συνηλθον *rell* ¦ συνηλθαν ℵB,NU † **10:46** ο **f**$^{35}$ D [97%] HF,RP,OC,TR,CP ¦ — ℵA,B [3%] NU

τις‡ τοῦ μὴ βαπτισθῆναι τούτους οἵτινες τὸ
Πνεῦμα τὸ Ἅγιον ἔλαβον ὡς§ καὶ ἡμεῖς;»
48 Προσέταξέν τε* αὐτοὺς βαπτισθῆναι ἐν τῷ
ὀνόματι τοῦ Κυρίου Ἰησοῦ.† Τότε ἠρώτησαν
αὐτὸν ἐπιμεῖναι ἡμέρας τινάς.

# 11

*Peter has to explain*

1 Ἤκουσαν δὲ οἱ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ
οἱ ὄντες κατὰ τὴν Ἰουδαίαν ὅτι καὶ τὰ ἔθνη
ἐδέξαντο τὸν λόγον τοῦ Θεοῦ. 2 Καὶ ὅτε*
ἀνέβη Πέτρος εἰς Ἱεροσόλυμα,† διεκρίνοντο
πρὸς αὐτὸν οἱ ἐκ περιτομῆς, 3 λέγοντες ὅτι
«Εἰσῆλθες πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας
καὶ συνέφαγες‡ αὐτοῖς.»
4 Ἀρξάμενος δὲ ὁ § Πέτρος ἐξετίθετο
αὐτοῖς καθεξῆς λέγων· 5 «Ἐγὼ ἤμην ἐν πόλει

---

‡ **10:47** κωλυσαι δυναται τις **f**35 (88.1%) HF,RP,OC,TR,CP ¦ 231 (7.4%) ¦ 213 ℵA,B (3.2%) NU ¦ 132 (D) (0.6%) ¦ two other readings (0.6%) § **10:47** ως **f**35 ℵA,B [25%] NU ¦ καθως [75%] HF,RP,OC,TR,CP ¦ ωσπερ D * **10:48** τε **f**35 A [95%] HF,RP,OC,TR,CP ¦ δε ℵB [5%] NU ¦ τοτε (D) † **10:48** βαπτισθηναι εν τω ονοματι του κυριου ιησου **f**35 [35%] CP ¦ 123456 [57%] HF,RP,OC,TR ¦ 12347 χριστου [5%] ¦ 2347 χριστου 1 ℵA,B [2%] NU ¦ 1234567 χριστου D [1%] * **11:2** και οτε **f**35 (90.7%) HF,RP,OC,TR,CP ¦ 1 οτι (1.1%) ¦ 2 δε ℵA,B (7.6%) NU ¦ conflation (0.4%) ¦ a long addition D † **11:2** ιεροσολυμα **f**35 D [98%] HF,RP,OC,TR,CP ¦ ιερουσαλημ 𝔭45ℵA,B [2%] NU ‡ **11:3** εισηλθες προς ανδρας ακροβυστιαν εχοντες και συνεφαγες **f**35 ℵA,D [20%] NU ¦ 2345167 [71%] HF,RP,OC, TR,CP ¦ 234516 συνεφαγεν [8%] ¦ εισηλθεν 23456 συνεφαγεν 𝔭45vB [1%] § **11:4** ο **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — 𝔭45ℵA,B,D [5%] NU

Ἰόππῃ προσευχόμενος, καὶ εἶδον ἐν ἐκστάσει
ὅραμα· καταβαῖνον σκεῦός τι ὡς ὀθόνην
μεγάλην, τέσσαρσιν ἀρχαῖς καθιεμένην, ἐκ
τοῦ οὐρανοῦ, καὶ ἦλθεν ἄχρις* ἐμοῦ· 6 εἰς ἣν
ἀτενίσας κατενόουν καὶ εἶδον τὰ τετράποδα
τῆς γῆς†—καὶ τὰ θηρία καὶ τὰ ἑρπετά—
καὶ τὰ πετεινὰ‡ τοῦ οὐρανοῦ. 7 Ἤκουσα
δὲ§ φωνῆς λεγούσης μοι, ‹Ἀναστάς, Πέτρε,
θῦσον καὶ φάγε.› 8 Εἶπον δέ· ‹Μηδαμῶς,
Κύριε· ὅτι πᾶν* κοινὸν ἢ ἀκάθαρτον οὐδέποτε
εἰσῆλθεν εἰς τὸ στόμα μου.› 9 Ἀπεκρίθη δέ
μοι† ἐκ δευτέρου φωνὴ‡ ἐκ τοῦ οὐρανοῦ, ‹Ἃ
ὁ Θεὸς ἐκαθάρισεν σὺ μὴ κοίνου.› 10 Τοῦτο
δὲ ἐγένετο ἐπὶ τρίς, καὶ πάλιν ἀνεσπάσθη§
ἅπαντα εἰς τὸν οὐρανόν. 11 Καὶ ἰδού, ἐξαυτῆς
τρεῖς ἄνδρες ἐπέστησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ
ἤμην,* ἀπεσταλμένοι ἀπὸ Καισαρείας πρός με.
12 Εἶπεν δέ μοι τὸ Πνεῦμα† συνελθεῖν αὐτοῖς,

---

* **11:5** αχρις **f**[35] 𝔭[45]D [97%] HF,OC,TR,CP ¦ αχρι אA,B [3%] RP,NU † **11:6** της γης *rell* ¦ — [20%] ‡ **11:6** πετεινα *rell* ¦ πετηνα [20%] ¦ πετινα א [1%] § **11:7** δε **f**[35] D [95%] HF,RP,OC,TR,CP ¦ 1 και אA,B [5%] NU * **11:8** παν **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ — 𝔭[45]אA,B,D [5%] NU ¦ τι [1%] † **11:9** μοι **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ — 𝔭[45]אA,B,D [3%] NU ‡ **11:9** εκ δευτερου φωνη **f**[35] B [20%] ¦ 312 𝔭[45]אA [80%] HF,RP,OC,TR,CP,NU ¦ 3 D § **11:10** παλιν ανεσπασθη **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ 21 אA,B,D [3%] NU * **11:11** ημην **f**[35] 𝔭[45] [90%] HF,RP,OC,TR,CP ¦ ημεν אA,B,D [5%] NU ¦ ημιν [5%] † **11:12** μοι το πνευμα **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ 231 𝔭[45]אA,B,D [3%] NU

μηδὲν διακρινόμενον.‡ Ἦλθον δὲ σὺν ἐμοὶ
καὶ οἱ ἓξ ἀδελφοὶ οὗτοι, καὶ εἰσήλθομεν εἰς
τὸν οἶκον τοῦ ἀνδρός. 13 Ἀπήγγειλέν δὲ§ ἡμῖν
πῶς εἶδεν τὸν* ἄγγελον ἐν τῷ οἴκῳ αὐτοῦ
σταθέντα καὶ εἰπόντα αὐτῷ,† ‹Ἀπόστειλον
εἰς Ἰόππην‡ καὶ μετάπεμψαι Σίμωνα, τὸν
ἐπικαλούμενον Πέτρον, 14 ὃς λαλήσει ῥήματα
πρός σε ἐν οἷς σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός
σου.› 15 Ἐν δὲ τῷ ἄρξασθαί με λαλεῖν,
ἐπέπεσεν τὸ Πνεῦμα τὸ Ἅγιον ἐπ᾿ αὐτούς,
ὥσπερ καὶ ἐφ᾿ ἡμᾶς ἐν ἀρχῇ. 16 Ἐμνήσθην§
δὲ τοῦ ῥήματος τοῦ* Κυρίου, ὡς ἔλεγεν
ὅτι† ‹Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ
βαπτισθήσεσθε‡ ἐν Πνεύματι Ἁγίῳ.› 17 Εἰ
οὖν τὴν ἴσην δωρεὰν ἔδωκεν αὐτοῖς ὁ Θεὸς
ὡς καὶ ἡμῖν πιστεύσασιν ἐπὶ τὸν Κύριον
Ἰησοῦν,§ ἐγὼ* τίς ἤμην δυνατὸς κωλῦσαι τὸν
Θεόν;» 18 Ἀκούσαντες δὲ ταῦτα ἡσύχασαν καὶ

---

‡ **11:12** διακρινομενον **f**35 [90%] HF,RP,OC,TR,CP ¦ διακριναντα A(B) [3%] NU ¦ διακρινοντα ℵ [2%] ¦ διακρινομενος [5%] ¦ — D § **11:13** δε **f**35 ℵA,B,D [30%] NU ¦ τε [70%] HF,RP,OC,TR,CP * **11:13** τον **f**35 ℵA,B [99%] HF,RP,OC,TR,CP[NU] ¦ — 𝔓45D [1%] † **11:13** αυτω **f**35 D [98%] HF,RP,OC,TR,CP ¦ — ℵA,B [2%] NU ‡ **11:13** ιοππην **f**35 ℵA,B,D [20%] NU ¦ 1 ανδρας [80%] HF,RP,OC,TR,CP § **11:16** εμνησθην *rell* ¦ εμνησθη [13%] ¦ εμνησθημεν A * **11:16** του **f**35 ℵA,B,D [40%] NU ¦ — [60%] HF,RP,OC,TR,CP † **11:16** οτι **f**35 [25%] ¦ — ℵA,B,D [75%] HF,RP,OC,TR,CP,NU ‡ **11:16** βαπτισθησεσθε *rell* ¦ βαπτισθησεσθαι ℵA,D [10%] § **11:17** ιησουν **f**35 [25%] ¦ 1 χριστον ℵA,B,D [75%] HF,RP,OC,TR,CP,NU * **11:17** εγω **f**35 ℵA,B [20%] NU ¦ 1 δε [80%] HF,RP,OC,TR,CP

ἐδόξαζον† τὸν Θεόν, λέγοντες, «Ἄραγε‡ καὶ
τοῖς ἔθνεσιν ὁ Θεὸς τὴν μετάνοιαν ἔδωκεν εἰς
ζωήν.»§

### *Enter Barnabas*

19 Οἱ μὲν οὖν διασπαρέντες ἀπὸ τῆς θλίψεως
τῆς γενομένης ἐπὶ Στεφάνῳ διῆλθον ἕως
Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ
λαλοῦντες τὸν λόγον εἰ μὴ μόνον Ἰουδαίοις.
20 Ἦσαν δέ τινες ἐξ αὐτῶν, ἄνδρες Κύπριοι
καὶ Κυρηναῖοι, οἵτινες εἰσελθόντες* εἰς
Ἀντιόχειαν ἐλάλουν† πρὸς τοὺς Ἑλληνιστάς,
εὐαγγελιζόμενοι τὸν Κύριον Ἰησοῦν. 21 Καὶ
ἦν χεὶρ Κυρίου μετ᾽ αὐτῶν,‡ πολύς τε
ἀριθμὸς§ πιστεύσας ἐπέστρεψεν ἐπὶ τὸν
Κύριον. 22 Ἠκούσθη δὲ ὁ λόγος εἰς τὰ ὦτα
τῆς ἐκκλησίας τῆς* ἐν Ἱεροσολύμοις† περὶ
αὐτῶν, καὶ ἐξαπέστειλαν Βαρνάβαν διελθεῖν‡
ἕως Ἀντιοχείας·§ 23 ὃς παραγενόμενος

---

† **11:18** εδοξαζον **f**$^{35}$ A [70%] HF,RP,OC,TR,CP ¦ εδοξασαν ℵB [30%] NU ¦ εδοξαν D ‡ **11:18** αραγε **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ αρα ℵA,B,D [4%] NU § **11:18** εδωκεν εις ζωην **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ 231 ℵA,B,D [4%] NU * **11:20** εισελθοντες **f**$^{35}$ [90%] HF,RP,OC,TR,CP ¦ ελθοντες ℵA,B,D [10%] NU † **11:20** ελαλουν **f**$^{35}$ D [97%] HF,RP,OC,TR,CP ¦ 1 και ℵA,B [3%] NU ‡ **11:21** αυτων *rell* ¦ 1 του ιασθαι αυτους [5%] CP § **11:21** αριθμος **f**$^{35}$ D [98%] HF,RP,OC,TR,CP ¦ 1 ο ℵA,B [2%] NU * **11:22** της **f**$^{35}$ A,D [85%] HF,RP,OC,TR,CP ¦ 1 ουσης ℵB [15%] NU † **11:22** ιεροσολυμοις **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ ιερουσαλημ 𝔓$^{45}$ℵA,B,D [5%] NU ‡ **11:22** διελθειν **f**$^{35}$ D [97%] HF,RP,OC,TR,CP[NU] ¦ — ℵA,B [3%] § **11:22** εως αντιοχειας *rell* ¦ εις αντιοχειαν CP

καὶ ἰδὼν τὴν χάριν* τοῦ Θεοῦ ἐχάρη, καὶ
παρεκάλει πάντας τῇ προθέσει τῆς καρδίας
προσμένειν τῷ Κυρίῳ 24 (ὅτι ἦν ἀνὴρ ἀγαθὸς
καὶ πλήρης Πνεύματος Ἁγίου καὶ πίστεως).
Καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ Κυρίῳ.
25 Ἐξῆλθεν δὲ εἰς Ταρσὸν ὁ Βαρνάβας†
ἀναζητῆσαι Σαῦλον, 26 καὶ εὑρὼν‡ ἤγαγεν§
εἰς Ἀντιόχειαν. Ἐγένετο δὲ αὐτοὺς* ἐνιαυτὸν
ὅλον συναχθῆναι† τῇ ἐκκλησίᾳ καὶ διδάξαι
ὄχλον ἱκανόν. Χρηματίσαι τε πρῶτον‡ ἐν
Ἀντιοχείᾳ τοὺς μαθητὰς Χριστιανούς.

### *Enter Agabus*

27 Ἐν ταύταις δὲ ταῖς ἡμέραις, κατῆλθον
ἀπὸ Ἱεροσολύμων προφῆται εἰς Ἀντιόχειαν.
28 Ἀναστὰς δὲ εἷς ἐξ αὐτῶν ὀνόματι Ἄγαβος,
ἐσήμανεν διὰ τοῦ Πνεύματος λιμὸν μέγαν§
μέλλειν ἔσεσθαι ἐφ᾽ ὅλην τὴν οἰκουμένην
(ὅστις* καὶ† ἐγένετο ἐπὶ Κλαυδίου Καίσαρος).‡

---

* **11:23** χαριν **f**35 D [99%] HF,RP,OC,TR,CP ¦ 1 την ℵA,B [1%] [NU] † **11:25** ο βαρναβας **f**35 [96%] HF,RP,OC,TR,CP ¦ — 𝔓45ℵA,B(D) [4%] NU ‡ **11:26** ευρων **f**35 ℵA,B,D [25%] HF,RP,NU ¦ 1 αυτον [75%] OC,TR,CP § **11:26** ηγαγεν **f**35 𝔓45ℵA,B,D [40%] NU ¦ 1 αυτον [60%] HF,RP,OC,TR,CP (OC is in small print) * **11:26** αυτους **f**35 [92%] HF,RP,OC,TR,CP ¦ αυτοις 𝔓45 [4%] ¦ αυτοις και ℵA,B [4%] NU ¦ οιτινες D † **11:26** συναχθηναι **f**35 (D) [80%] HF,RP ¦ 1 εν **f**35pt 𝔓45ℵA,B [20%] OC,TR,CP,NU (OC is in small print) ‡ **11:26** πρωτον **f**35 A(D) [98%] HF,RP,OC,TR,CP ¦ πρωτος 𝔓45ℵB [2%] NU § **11:28** μεγαν **f**35 D [96%] HF,RP,OC,TR,CP ¦ μεγαλην 𝔓45ℵA,B [4%] NU * **11:28** οστις **f**35 [95%] HF,RP,OC,TR,CP ¦ ητις ℵA,B,D [5%] NU † **11:28** και **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,D [5%] NU ‡ **11:28** καισαρος **f**35 [97%] HF,RP,OC,TR,CP ¦ — 𝔓45ℵA,B,D [3%] NU

29 Τῶν δὲ μαθητῶν, καθὼς εὐπορεῖτό§ τις,
ὥρισαν ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι
τοῖς κατοικοῦσιν ἐν τῇ Ἰουδαίᾳ ἀδελφοῖς·
30 ὃ καὶ ἐποίησαν ἀποστείλαντες πρὸς
τοὺς πρεσβυτέρους διὰ χειρὸς Βαρνάβα καὶ
Σαύλου.

# 12

*Enter Herod*

1 Κατ᾽ ἐκεῖνον δὲ τὸν καιρόν, ἐπέβαλεν
Ἡρῴδης ὁ βασιλεὺς τὰς χεῖρας κακῶσαί τινας
τῶν ἀπὸ τῆς ἐκκλησίας. 2 Ἀνεῖλεν δὲ Ἰάκωβον,
τὸν ἀδελφὸν Ἰωάννου, μαχαίρᾳ.* 3 Καὶ ἰδὼν†
ὅτι ἀρεστόν ἐστιν τοῖς Ἰουδαίοις, προσέθετο
συλλαβεῖν καὶ Πέτρον (ἦσαν δὲ αἱ‡ ἡμέραι τῶν
ἀζύμων) 4 —ὃν καὶ πιάσας ἔθετο εἰς φυλακήν,
παραδοὺς τέσσαρσιν τετραδίοις στρατιωτῶν
φυλάσσειν αὐτόν, βουλόμενος μετὰ τὸ Πάσχα
ἀναγαγεῖν αὐτὸν τῷ λαῷ.

*Enter angel*

5 Ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ,
προσευχὴ δὲ ἦν ἐκτενὴς§ γινομένη ὑπὸ τῆς
ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ* αὐτοῦ. 6 Ὅτε

---

§ **11:29** ευπορειτο **f**$^{35}$ A,B [71%] HF,RP,CP,NU ¦ ηυπορειτο [25%] OC,TR ¦ ευπορουντο D ¦ ευπoριτο א ¦ four other variants [3%]
* **12:2** μαχαιρα **f**$^{35}$ D [98%] HF,RP,OC,TR,CP ¦ μαχαιρη אA,B [2%] NU † **12:3** και ιδων **f**$^{35}$ D [95%] HF,RP,OC,TR,CP ¦ 2 δε 𝔭$^{45}$אA,B [5%] NU ‡ **12:3** αι **f**$^{35}$ A,D [50%] HF,RP,OC[NU] ¦ — 𝔭$^{45v}$אB [50%] TR,CP § **12:5** εκτενης **f**$^{35}$ [98%] HF,RP,OC,TR,CP ¦ εκτενως אA,B [2%] NU ¦ εν εκτενεια D * **12:5** υπερ **f**$^{35}$ A [95%] HF,RP,OC,TR ¦ περι אB,D [5%] CP,NU

δὲ ἔμελλεν† προάγειν αὐτὸν‡ ὁ Ἡρῴδης, τῇ
νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος μεταξὺ
δύο στρατιωτῶν, δεδεμένος ἁλύσεσιν δυσίν,
φύλακές τε πρὸ τῆς θύρας ἐτήρουν τὴν
φυλακήν. 7 Καὶ ἰδού, ἄγγελος Κυρίου ἐπέστη,
καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι· πατάξας
δὲ τὴν πλευρὰν τοῦ Πέτρου, ἤγειρεν αὐτὸν
λέγων, «Ἀνάστα ἐν τάχει,» καὶ ἐξέπεσον§
αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν. 8 Εἶπέν
τε* ὁ ἄγγελος πρὸς αὐτόν, «Περίζωσαι† καὶ
ὑπόδησαι τὰ σανδάλιά σου.» Ἐποίησεν δὲ
οὕτως. Καὶ λέγει αὐτῷ, «Περιβαλοῦ τὸ
ἱμάτιόν σου καὶ ἀκολούθει μοι.» 9 Καὶ ἐξελθὼν
ἠκολούθει‡ αὐτῷ,§ καὶ οὐκ ᾔδει* ὅτι ἀληθές
ἐστιν τὸ γινόμενον† διὰ‡ τοῦ ἀγγέλου· ἐδόκει
δὲ ὅραμα βλέπειν. 10 Διελθόντες δὲ πρώτην
φυλακὴν καὶ δευτέραν, ἦλθον§ ἐπὶ τὴν πύλην
τὴν σιδηρᾶν τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις

---

† **12:6** εμελλεν **f**35 A,D [65%] HF,RP,OC,TR,CP ¦ ημελλεν ℵB [35%] NU ‡ **12:6** προαγειν αυτον **f**35 D [25%] ¦ 21 [58%] HF,RP,OC,TR ¦ προαγαγειν 2 A [2%] CP,NU ¦ προσαγειν 2 ℵ [8%] ¦ προσαγαγειν 2 B [1%] ¦ 2 προαγαγειν [5%] ¦ two other variants [1%] § **12:7** εξεπεσον *rell* ¦ εξεπεσαν ℵA,B,D [5%] NU ¦ εξεπεσων [3%] * **12:8** τε **f**35 ℵA [85%] HF,RP,OC,TR,CP ¦ δε B,D [15%] NU † **12:8** περιζωσαι **f**35 [95%] HF,RP,OC,TR,CP ¦ ζωσαι ℵA,B,D [5%] NU ‡ **12:9** ηκολουθει *rell* ¦ ηκολουθη [15%] ¦ ηκολουθι ℵ [1%] § **12:9** αυτω **f**35 [97%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,D [3%] NU * **12:9** ηδει *rell* ¦ ηδη [12%] ¦ ηδι ℵ ¦ two other variants † **12:9** γινομενον *rell* ¦ γενομενον [5%] CP ¦ γεινομενον B,D ‡ **12:9** δια *rell* ¦ υπο A [20%] § **12:10** ηλθον *rell* ¦ ηλθαν ℵA,B [1%] NU

αὐτομάτη* ἠνοίχθη† αὐτοῖς· καὶ ἐξελθόντες
προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ἀπέστη ὁ
ἄγγελος ἀπ᾽ αὐτοῦ.

### *Enter Rhoda*

11 Καὶ ὁ Πέτρος, γενόμενος ἐν ἑαυτῷ,‡ εἶπεν,
«Νῦν οἶδα ἀληθῶς ὅτι ἐξαπέστειλεν§ Κύριος
τὸν ἄγγελον αὐτοῦ καὶ ἐξείλετό* με ἐκ χειρὸς
Ἡρῴδου καὶ πάσης τῆς† προσδοκίας τοῦ λαοῦ
τῶν Ἰουδαίων.» 12 Συνιδών τε‡ ἦλθεν ἐπὶ
τὴν οἰκίαν§ Μαρίας, τῆς μητρὸς Ἰωάννου
(τοῦ ἐπικαλουμένου Μάρκου), οὗ ἦσαν
ἱκανοὶ συνηθροισμένοι* καὶ προσευχόμενοι.
13 Κρούσαντος δὲ τοῦ Πέτρου† τὴν θύραν τοῦ
πυλῶνος, προσῆλθεν παιδίσκη ὑπακοῦσαι,
ὀνόματι Ῥόδη. 14 Καὶ ἐπιγνοῦσα τὴν φωνὴν
τοῦ Πέτρου, ἀπὸ τῆς χαρᾶς οὐκ ἤνοιξεν τὸν
πυλῶνα, εἰσδραμοῦσα δὲ ἀπήγγειλεν ἑστάναι
τὸν Πέτρον πρὸ τοῦ πυλῶνος. 15 Οἱ δὲ πρὸς
αὐτὴν εἶπον,‡ «Μαίνῃ.» Ἡ δὲ διισχυρίζετο

---

* **12:10** αυτοματη *rell* ¦ αυτοματι [15%] † **12:10** ηνοιχθη $\mathbf{f}^{35}$ [90%] HF,RP,OC,TR,CP ¦ ηνοιγη A [5%] NU ¦ ηνυγη ℵB,D ¦ ηνυχθη [4%] ‡ **12:11** γενομενος εν εαυτω $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ 231 ℵA,D [5%] NU ¦ 2 αυτω 1 B § **12:11** εξαπεστειλεν $\mathbf{f}^{35}$ ℵA [96%] HF,RP,OC,TR,CP ¦ 1 ο B [4%] [NU] * **12:11** εξειλετο *rell* ¦ εξειλατο ℵA,B,D [13%] NU ¦ εξηλατο [7%] ¦ εξιλατο [1%] ¦ ερρυσατο [5%] † **12:11** της *rell* ¦ — CP ‡ **12:12** τε *rell* ¦ δε A [15%] ¦ και D ¦ 1 ο πετρος [13%] § **12:12** οικιαν $\mathbf{f}^{35}$ [98%] HF,RP,OC,TR,CP ¦ 1 της ℵA,B,D [2%] NU * **12:12** συνηθροισμενοι *rell* ¦ 1 αδελφοι [5%] CP † **12:13** του πετρου $\mathbf{f}^{35}$ [90%] HF,RP,TR,CP ¦ αυτου ℵA,B,D [10%] OC,NU ‡ **12:15** ειπον *rell* ¦ ειπαν ℵA,B [2%] NU ¦ ελεγον $D^V$ ¦ two other variants [1%]

οὕτως ἔχειν. Οἱ δὲ§ ἔλεγον, «Ὁ ἄγγελος
αὐτοῦ ἐστιν.»* 16 Ὁ δὲ Πέτρος ἐπέμενεν
κρούων· ἀνοίξαντες δὲ εἶδον† αὐτὸν καὶ
ἐξέστησαν. 17 Κατασείσας δὲ αὐτοῖς τῇ
χειρὶ σιγᾶν, διηγήσατο αὐτοῖς‡ πῶς ὁ Κύριος
αὐτὸν ἐξήγαγεν§ ἐκ τῆς φυλακῆς. Εἶπεν
δέ,* «Ἀπαγγείλατε Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς
ταῦτα.» Καὶ ἐξελθὼν ἐπορεύθη εἰς ἕτερον
τόπον.

*Poor guards*

18 Γενομένης δὲ ἡμέρας, ἦν τάραχος οὐκ
ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα ὁ Πέτρος
ἐγένετο. 19 Ἡρῴδης δέ,† ἐπιζητήσας αὐτὸν
καὶ μὴ εὑρών, ἀνακρίνας τοὺς φύλακας,
ἐκέλευσεν ἀπαχθῆναι. Καὶ κατελθὼν ἀπὸ τῆς
Ἰουδαίας εἰς τὴν‡ Καισάρειαν διέτριβεν.

*Herod gets his ‘comeuppance’*

20 Ἦν δὲ ὁ Ἡρῴδης§ θυμομαχῶν Τυρίοις
καὶ Σιδωνίοις· ὁμοθυμαδόν τε* παρῆσαν πρὸς
αὐτόν, καὶ πείσαντες Βλάστον, τὸν ἐπὶ τοῦ
κοιτῶνος τοῦ βασιλέως, ᾐτοῦντο εἰρήνην,

---

§ **12:15** δε *rell* ¦ δ TR * **12:15** αυτου εστιν **f**[35] D [99%] HF,RP,OC,TR,CP ¦ 21 ℵA,B [1%] NU † **12:16** ειδον *rell* ¦ ειδαν A,B [1%] NU ¦ ιδον [8%] ¦ και ιδοντες D ‡ **12:17** αυτοις **f**[35] B,D [97%] HF,RP,OC,TR,CP[NU] ¦ — ℵA [3%] § **12:17** αυτον εξηγαγεν (A) *rell* ¦ 21 [13%] OC * **12:17** δε **f**[35] D [97%] HF,RP,OC,TR,CP ¦ τε 𝔓[45]ℵA,B [3%] NU † **12:19** δε *rell* ¦ τε A [5%] CP ‡ **12:19** την **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ — 𝔓[45]ℵA,B,D [10%] NU § **12:20** ο ηρωδης **f**[35] [85%] HF,RP,TR,CP ¦ 2 [11%] OC ¦ — ℵA,B(D) [4%] NU * **12:20** τε **f**[35] [20%] OC,CP ¦ δε ℵA,B(D) [70%] HF,RP,TR,NU ¦ — [10%]

διὰ τὸ τρέφεσθαι αὐτῶν τὴν χώραν ἀπὸ τῆς
βασιλικῆς. 21 Τακτῇ δὲ ἡμέρᾳ ὁ Ἡρῴδης,
ἐνδυσάμενος ἐσθῆτα βασιλικὴν καὶ† καθίσας‡
ἐπὶ τοῦ βήματος, ἐδημηγόρει πρὸς αὐτούς. 22 Ὁ
δὲ δῆμος ἐπεφώνει,§ «Θεοῦ φωνὴ* καὶ οὐκ
ἀνθρώπου.» 23 Παραχρῆμα δὲ ἐπάταξεν αὐτὸν
ἄγγελος Κυρίου, ἀνθ᾽ ὧν οὐκ ἔδωκεν† δόξαν
τῷ Θεῷ, καὶ γενόμενος σκωληκόβρωτος,‡
ἐξέψυξεν.
24 Ὁ δὲ λόγος τοῦ Θεοῦ ηὔξανεν καὶ
ἐπληθύνετο.

## The Gentile Church

25 Βαρνάβας δὲ καὶ Σαῦλος ὑπέστρεψαν εἰς
Ἀντιόχειαν,§ πληρώσαντες τὴν διακονίαν,
συμπαραλαβόντες καὶ* Ἰωάννην, τὸν
ἐπικληθέντα Μᾶρκον.

---

† **12:21** και **f**35 A,D [95%] HF,RP,OC,TR,CP[NU] ¦ — אB [5%] ‡ **12:21** καθισας *rell* ¦ καθησας [20%] § **12:22** επεφωνει *rell* ¦ επεφωνη [18%] * **12:22** θεου φωνη **f**35 אA,B(D) [20%] OC,TR,NU ¦ 21 [78%] HF,RP,CP ¦ 2 κυριου [2%] † **12:23** εδωκεν **f**35 D [96%] HF,RP,CP ¦ 1 την אA,B [4%] OC,TR,NU ‡ **12:23** σκωληκοβρωτος *rell* ¦ σκωληκωβρωτος CP ¦ σκωλικοβρωτος [9%] ¦ σκολικοβρωτος [5%] ¦ four further spellings D [4%] § **12:25** 1) εις αντιοχειαν (**f**35=27.8%) (5.1%) 2) απο ιερουσαλημ (**f**35=8.9%) D (10.9%) 3) απο ιερουσαλημ εις αντιοχειαν (**f**35=12.7%) (7.3%) 4) εξ ιερουσαλημ (**f**35=1.3%) אA (3.6%) OC,TR 5) εξ ιερουσαλημ εις αντιοχειαν (**f**35=11.4%) (12.2%) CP 6) εις ιερουσαλημ (**f**35=36.7%) B (60%) RP,HF,NU [15 out of 29 **f**35 MSS are at M. Lavras!] 7) εις ιερουσαλημ εις αντιοχειαν (**f**35=1.3%) (0.6%) (one other reading) (0.2%) For a discussion of this set of variants, please see 'Appendix II' on page 791. * **12:25** και **f**35 [98%] HF,RP,OC,TR,CP ¦ — אA,B [2%] NU ¦ τον D

# 13

## *Missionary journey I—Barnabas and Saul→Paul*

1 Ἦσαν δέ τινες* ἐν Ἀντιοχείᾳ κατὰ τὴν
οὖσαν ἐκκλησίαν προφῆται καὶ διδάσκαλοι·
ὅ τε Βαρνάβας καὶ Συμεὼν (ὁ καλούμενος†
Νίγερ) καὶ Λούκιος ὁ Κυρηναῖος,‡ Μαναήν
τε (Ἡρῴδου τοῦ τετράρχου§ σύντροφος) καὶ
Σαῦλος. 2 Λειτουργούντων δὲ αὐτῶν τῷ Κυρίῳ
καὶ νηστευόντων, εἶπεν τὸ Πνεῦμα τὸ Ἅγιον,
«Ἀφορίσατε* δή μοι τὸν† Βαρνάβαν καὶ τὸν‡
Σαῦλον εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς.»
3 Τότε, νηστεύσαντες καὶ προσευξάμενοι καὶ
ἐπιθέντες τὰς χεῖρας αὐτοῖς,§ ἀπέλυσαν.

## *1st stop—Cyprus*

4 Οὗτοι* μέν,† ἐκπεμφθέντες ὑπὸ τοῦ
Πνεύματος τοῦ Ἁγίου,‡ κατῆλθον εἰς τὴν§

---

* **13:1** τινες **f**35 [96%] HF,RP,OC,TR,CP ¦ — אA,B,D [4%] NU † **13:1** καλουμενος *rell* ¦ επικαλουμενος D [1%] OC ‡ **13:1** κυρηναιος *rell* ¦ κυριναιος [20%] § **13:1** τετραρχου **f**35 A,C,D [99%] HF,RP,OC,TR,CP ¦ τετρααρχου א,NU ¦ τραρχου B * **13:2** αφορισατε *rell* ¦ αφορησατε [13%] ¦ two other spellings C [1%] † **13:2** τον *rell* ¦ 1 τε [5%] TR ‡ **13:2** τον **f**35 א [93%] HF,RP,OC,TR,CP ¦ — A,B,C,D [7%] NU § **13:3** τας χειρας αυτοις (אC) *rell* ¦ 312 [20%] OC * **13:4** ουτοι **f**35 [96%] HF,RP,OC,TR,CP ¦ αυτοι אA,C,B [4%] NU ¦ οι D † **13:4** μεν **f**35 [20%] ¦ 1 ουν אA,B,C,D [80%] HF,RP,OC,TR,CP,NU ‡ **13:4** πνευματος του αγιου **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 31 אA,B,C [5%] NU ¦ 13 D § **13:4** την **f**35 [87%] HF,RP,OC,TR,CP ¦ — אA,B,C,D [13%] NU

Σελεύκειαν·* ἐκεῖθεν† τε‡ ἀπέπλευσαν εἰς
τὴν§ Κύπρον. 5 Καὶ γενόμενοι ἐν Σαλαμῖνι,*
κατήγγελλον† τὸν λόγον τοῦ Θεοῦ ἐν
ταῖς συναγωγαῖς τῶν Ἰουδαίων (εἶχον
δὲ καὶ Ἰωάννην ὑπηρέτην). 6 Διελθόντες
δὲ‡ τὴν νῆσον ἄχρι Πάφου, εὗρόν§ τινα
μάγον, ψευδοπροφήτην, Ἰουδαῖον ᾧ ὄνομα
Βαρϊησοῦν,* 7 ὃς ἦν σὺν τῷ ἀνθυπάτῳ,
Σεργίῳ Παύλῳ, ἀνδρὶ συνετῷ. Οὗτος
προσκαλεσάμενος Βαρνάβαν καὶ Σαῦλον,
ἐπεζήτησεν ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ.
8 Ἀνθίστατο δὲ αὐτοῖς Ἐλύμας ὁ μάγος (οὕτως
γὰρ μεθερμηνεύεται τὸ ὄνομα αὐτοῦ), ζητῶν
διαστρέψαι τὸν ἀνθύπατον ἀπὸ τῆς πίστεως.
9 Σαῦλος δέ, ὁ καὶ Παῦλος, πλησθεὶς
Πνεύματος Ἁγίου καὶ† ἀτενίσας εἰς‡ αὐτὸν
10 εἶπεν· «Ὦ πλήρης παντὸς δόλου καὶ πάσης
ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης
δικαιοσύνης, οὐ παύσῃ§ διαστρέφων τὰς

---

* **13:4** σελευκειαν *rell* ¦ σελευκιαν אA,C,D [25%] † **13:4** εκειθεν *rell* ¦ κακειθεν [30%] ‡ **13:4** τε $\mathbf{f}^{35}$ אA,B,C [27%] OC,TR,CP,NU ¦ δε [72%] HF,RP ¦ — D [1%] § **13:4** την $\mathbf{f}^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ — אA,B,C,D [7%] NU * **13:5** σαλαμινι *rell* ¦ σαλαμινη אA [15%] ¦ σαλαμειvι B,D ¦ four further spellings [3%] † **13:5** κατηγγελλον *rell* ¦ κατηγγελον [7%] ¦ κατηνγειλαν D [9%] ‡ **13:6** δε $\mathbf{f}^{35}$ [90%] HF,RP,OC,TR,CP ¦ 1 ολην אA,B,C,D [10%] NU § **13:6** ευρον $\mathbf{f}^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ 1 ανδρα אA,B,C,D [7%] NU * **13:6** βαριησουν $\mathbf{f}^{35}$ A [79%] HF ¦ βαριησους B,C [20%] RP,OC,TR,CP ¦ βαριησου א [1%] NU ¦ βαριησουα D † **13:9** και $\mathbf{f}^{35}$ $\mathfrak{P}^{45}$D [90%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [10%] NU ‡ **13:9** εις *rell* ¦ προς OC § **13:10** παυση *rell* ¦ παυη [10%] ¦ παυσει [2%] ¦ παυει [2%]

ὁδοὺς* Κυρίου τὰς εὐθείας; 11 Καὶ νῦν ἰδού,
χεὶρ† Κυρίου ἐπὶ σὲ καὶ ἔσῃ τυφλός, μὴ
βλέπων τὸν ἥλιον ἄχρι καιροῦ.» Παραχρῆμα
δὲ‡ ἐπέπεσεν§ ἐπ᾽ αὐτὸν ἀχλὺς καὶ σκότος,
καὶ περιάγων ἐζήτει χειραγωγούς. 12 Τότε
ἰδὼν ὁ ἀνθύπατος τὸ γεγονὸς ἐπίστευσεν,
ἐκπληττόμενος* ἐπὶ τῇ διδαχῇ τοῦ Κυρίου.

### *On to Pisidian Antioch*

13 Ἀναχθέντες δὲ ἀπὸ τῆς Πάφου οἱ περὶ τὸν†
Παῦλον ἦλθον εἰς Πέργην τῆς Παμφυλίας
(Ἰωάννης δὲ ἀποχωρήσας ἀπ᾽ αὐτῶν
ὑπέστρεψεν εἰς Ἱεροσόλυμα).‡ 14 Αὐτοὶ δὲ
διελθόντες ἀπὸ τῆς Πέργης, παρεγένοντο εἰς
Ἀντιόχειαν τῆς Πισιδίας·§ καὶ εἰσελθόντες*
εἰς τὴν συναγωγὴν τῇ ἡμέρᾳ τῶν σαββάτων,
ἐκάθισαν. 15 Μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ
Νόμου καὶ τῶν Προφητῶν, ἀπέστειλαν
πρὸς αὐτοὺς οἱ ἀρχισυνάγωγοι,† λέγοντες,

---

* **13:10** οδους **f**$^{35}$ A,C,D [99%] HF,RP,OC,TR,CP ¦ 1 του אB[NU] † **13:11** χειρ **f**$^{35}$ 𝔓$^{45}$אA,B,C [95%] HF,RP,OC,CP,NU ¦ 1 του [5%] TR ‡ **13:11** δε **f**$^{35}$ A,B [97%] HF,RP,OC,TR,CP ¦ τε 𝔓$^{45}$אC [2%] NU ¦ — D [1%] § **13:11** επεπεσεν **f**$^{35}$ C [96%] HF,RP,TR,CP ¦ επεσεν 𝔓$^{45v}$א(A)B [4%] OC,NU * **13:12** εκπληττομενος **f**$^{35}$ B [35%] ¦ εκπλησσομενος 𝔓$^{45v}$א(A)C,D [65%] HF,RP,OC,TR,CP,NU † **13:13** τον **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ — (𝔓$^{45v}$)אA,B,C,D [5%] NU ‡ **13:13** ιεροσολυμα *rell* ¦ ιερουσαλημ CP § **13:14** της πισιδιας **f**$^{35}$ (D) [98%] HF,RP,OC,TR,CP ¦ την πισιδιαν (𝔓$^{45}$)אA,B,C [2%] NU * **13:14** εισελθοντες **f**$^{35}$ A,D [98%] HF,RP,OC,TR,CP[NU] ¦ ελθοντες אB,C [2%] † **13:15** προς αυτους οι αρχισυναγωγοι **f**$^{35}$ [20%] ¦ 3412 אA,B,C,D [80%] HF,RP,OC,TR,CP,NU

«Ἄνδρες ἀδελφοί, εἰ‡ ἔστιν λόγος ἐν ὑμῖν§
παρακλήσεως πρὸς τὸν λαόν, λέγετε.»

*Paul expounds the Gospel*

16 Ἀναστὰς δὲ Παῦλος καὶ κατασείσας
τῇ χειρί, εἶπεν· «Ἄνδρες Ἰσραηλῖται καὶ οἱ
φοβούμενοι τὸν Θεόν, ἀκούσατε. 17 Ὁ
Θεὸς τοῦ λαοῦ τούτου* ἐξελέξατο τοὺς
πατέρας ἡμῶν, καὶ τὸν λαὸν ὕψωσεν ἐν τῇ
παροικίᾳ† ἐν γῇ Αἰγύπτῳ,‡ καὶ μετὰ βραχίονος
ὑψηλοῦ ἐξήγαγεν αὐτοὺς ἐξ αὐτῆς. 18 Καὶ
ὡς τεσσαρακονταετῆ§ χρόνον ἐτροποφόρησεν
αὐτοὺς ἐν τῇ ἐρήμῳ. 19 Καὶ καθελὼν
ἔθνη ἑπτὰ ἐν γῇ Χαναάν, κατεκληρονόμησεν*
αὐτοῖς† τὴν γῆν αὐτῶν. 20 Καὶ μετὰ ταῦτα,
ὡς ἔτεσιν τετρακοσίοις καὶ πεντήκοντα‡
ἔδωκεν κριτὰς, ἕως Σαμουὴλ τοῦ§ προφήτου.

---

‡ **13:15** ει **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 1 τις אA,B,C,D [5%] NU § **13:15** λογος εν υμιν **f**35 [90%] HF,RP,OC,TR,CP ¦ 231 אA,B,C [10%] NU ¦ λογου σοφιας εν υμειν D * **13:17** τουτου **f**35 [95%] HF,RP ¦ 1 ισραηλ אA,C,D [4%] OC,TR,CP,NU ¦ του ισραηλ B [1%] † **13:17** εν τη παροικια *rell* ¦ — CP ‡ **13:17** αιγυπτω **f**35 C,D [85%] HF,RP,OC,TR,CP ¦ αιγυπτου אA,B [15%] NU § **13:18** τεσσαρακονταετη **f**35 [97%] HF,RP,OC,TR,CP ¦ τεσσερακονταετη אA,B [2%] NU ¦ τεσσερακονταετην C ¦ ετη μ D * **13:19** κατεκληρονομησεν **f**35 אA,B,C [95%] HF,RP,OC,NU ¦ κατεκληροδοτησεν [5%] TR,CP † **13:19** αυτοις **f**35 A,C [97%] HF,RP,OC,TR,CP ¦ — אB,D [3%] NU ‡ **13:20** και μετα ταυτα ως ετεσιν τετρακοσιοις και πεντηκοντα **f**35 (91.6%) HF,RP,OC,TR,CP ¦ 1 5 τριακοσιοις 7-8 (1.1%) ¦ 45678123 אA,B,C (5.5%) NU ¦ 4-8,1 (0.6%) ¦ 5-8,1 (0.6%) ¦ 1 εως 5 υ´ 7 ν´ D ¦ two other variants (0.6%) § **13:20** του **f**35 C,D [98%] HF,RP,OC,TR,CP[NU] ¦ — אA,B [2%]

21 Κἀκεῖθεν ᾐτήσαντο βασιλέα, καὶ ἔδωκεν
αὐτοῖς ὁ Θεὸς τὸν Σαούλ, υἱὸν Κίς, ἄνδρα ἐκ
φυλῆς Βενιαμίν,* ἔτη τεσσαράκοντα.† 22 Καὶ
μεταστήσας αὐτὸν ἤγειρεν αὐτοῖς τὸν Δαυὶδ‡
εἰς βασιλέα, ᾧ καὶ εἶπεν μαρτυρήσας, ‹Εὗρον
Δαυὶδ τὸν τοῦ Ἰεσσαὶ ἄνδρα κατὰ τὴν καρδίαν
μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου.›
23 Τούτου ὁ Θεός, ἀπὸ τοῦ σπέρματος, κατʼ
ἐπαγγελίαν, ἤγαγεν§ τῷ Ἰσραὴλ σωτηρίαν,*
24 προκηρύξαντος Ἰωάννου, πρὸ προσώπου
τῆς εἰσόδου αὐτοῦ, βάπτισμα μετανοίας τῷ†
Ἰσραήλ. 25 Ὡς δὲ ἐπλήρου ὁ ‡ Ἰωάννης τὸν
δρόμον, ἔλεγεν· ‹Τίνα με§ ὑπονοεῖτε εἶναι;*
Οὐκ εἰμὶ ἐγώ—ἀλλʼ ἰδού, ἔρχεται μετʼ ἐμέ, οὗ
οὐκ εἰμὶ ἄξιος τὸ ὑπόδημα τῶν ποδῶν λῦσαι.›
26 »Ἄνδρες ἀδελφοί, υἱοὶ γένους Ἀβραάμ,
καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεόν· ὑμῖν†
ὁ λόγος τῆς σωτηρίας ταύτης ἐξαπεστάλη.‡

---

* **13:21** βενιαμιν *rell* ¦ βενιαμειν ℵA,B,C [3%] ¦ βενιαμην [13%] † **13:21** τεσσαρακοντα **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ τεσσερακοντα ℵA,B,C [2%] NU ¦ μ D [1%] ‡ **13:22** αυτοις τον δαυιδ **f**[35] C [97%] HF,RP,OC,TR,CP ¦ 231 ℵA,B [2%] NU ¦ 31 D (TR, not CP, has Δαβιδ throughout.) § **13:23** ηγαγεν **f**[35] ℵA,B [75%] HF,RP,OC,NU ¦ ηγειρεν C,D [25%] TR,CP * **13:23** σωτηριαν **f**[35] [80%] HF,RP,OC ¦ σωτηρα ιησουν ℵA,B,C(D) [15%] TR,CP,NU ¦ σωτηρα [5%] † **13:24** τω **f**[35] [80%] HF,RP ¦ παντι 1 A [1%] ¦ παντι 1 λαω ℵB,C,D [19%] OC,TR,NU ¦ παντι 1 λαω του CP ‡ **13:25** ο **f**[35] [65%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C,D [35%] NU § **13:25** τινα με **f**[35] 𝔭[45]C,D [98%] HF,RP,OC,TR,CP ¦ τι εμε ℵA,B [2%] NU * **13:25** ειναι *rell* ¦ — [14%] † **13:26** υμιν **f**[35] 𝔭[45]C [96%] HF,RP,OC,TR,CP ¦ ημιν ℵA,B(D) [4%] NU ‡ **13:26** εξαπεσταλη **f**[35] ℵA,B,C [30%] NU ¦ απεσταλη 𝔭[45]D [70%] HF,RP,OC,TR,CP

27 Οἱ γὰρ κατοικοῦντες§ Ἱερουσαλὴμ καὶ
οἱ ἄρχοντες αὐτῶν, τοῦτον ἀγνοήσαντες
καὶ τὰς φωνὰς τῶν προφητῶν τὰς κατὰ
πᾶν σάββατον ἀναγινωσκομένας, κρίναντες
ἐπλήρωσαν. 28 Καὶ μηδεμίαν αἰτίαν θανάτου
εὑρόντες, ᾐτήσαντο Πιλᾶτον ἀναιρεθῆναι
αὐτόν. 29 Ὡς δὲ ἐτέλεσαν πάντα* τὰ
περὶ αὐτοῦ γεγραμμένα, καθελόντες ἀπὸ τοῦ
ξύλου, ἔθηκαν εἰς μνημεῖον. 30 Ὁ δὲ Θεὸς
ἤγειρεν αὐτὸν ἐκ νεκρῶν· 31 ὃς ὤφθη ἐπὶ
ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ
τῆς Γαλιλαίας εἰς Ἱερουσαλήμ, οἵτινές† εἰσιν
μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν.

32 »Καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα· τὴν πρὸς
τοὺς πατέρας ἐπαγγελίαν γενομένην, 33 ὅτι
ταύτην ὁ Θεὸς ἐκπεπλήρωκεν τοῖς τέκνοις
αὐτῶν, ἡμῖν,‡ ἀναστήσας Ἰησοῦν· ὡς καὶ ἐν
τῷ ψαλμῷ τῷ δευτέρῳ γέγραπται·§ ‹Υἱός μου
εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά* σε.› 34 Ὅτι δὲ
ἀνέστησεν αὐτὸν ἐκ νεκρῶν, μηκέτι μέλλοντα
ὑποστρέφειν† εἰς διαφθοράν, οὕτως εἴρηκεν
ὅτι ‹Δώσω ὑμῖν τὰ ὅσια Δαυὶδ τὰ πιστά.›

---

§ **13:27** κατοικουντες $f^{35}$ C [30%] HF,CP ¦ 1 εν ℵA,B,D [70%] RP,OC,TR,NU * **13:29** παντα $f^{35}$ ℵA,B,C [95%] HF,RP,OC,CP,NU ¦ απαντα [5%] TR † **13:31** οιτινες $f^{35}$ B [94%] HF,RP,OC,TR,CP ¦ 1 νυν $\mathfrak{P}^{45}$(ℵ)A,C [5%] [NU] ¦ 1 αχρι νυν D [1%] ‡ **13:33** αυτων ημιν $f^{35}$ (96%) HF,RP,OC,TR,CP[NU] ¦ 1 υμιν (1.1%) ¦ 1 (1.3%) ¦ ημων ℵA,B,C,D (1.5%) ¦ one other variant § **13:33** τω δευτερω γεγραπται $f^{35}$ [86%] HF,RP,OC,TR,CP ¦ 312 $\mathfrak{P}^{45}$ℵA,B,C [4%] NU ¦ 23 (D) [10%] * **13:33** γεγεννηκα *rell* ¦ γεγενηκα [18%] † **13:34** υποστρεφειν *rell* ¦ 1 αυτον CP

35 Διὸ‡ καὶ ἐν ἑτέρῳ λέγει, ‹Οὐ δώσεις τὸν
Ὅσιόν σου ἰδεῖν διαφθοράν.› 36 Δαυὶδ μὲν γάρ,
ἰδίᾳ γενεᾷ ὑπηρετήσας τῇ τοῦ Θεοῦ βουλῇ,
ἐκοιμήθη, καὶ προσετέθη πρὸς τοὺς πατέρας
αὐτοῦ, καὶ εἶδεν διαφθοράν· 37 ὃν δὲ§ ὁ Θεὸς
ἤγειρεν οὐκ εἶδεν διαφθοράν. 38 Γνωστὸν
οὖν ἔστω ὑμῖν, ἄνδρες ἀδελφοί, ὅτι διὰ
τούτου ὑμῖν ἄφεσις ἁμαρτιῶν καταγγέλλεται·
39 καὶ* ἀπὸ πάντων ὧν οὐκ ἠδυνήθητε ἐν†
νόμῳ Μωϋσέος‡ δικαιωθῆναι, ἐν τούτῳ πᾶς
ὁ πιστεύων δικαιοῦται. 40 Βλέπετε οὖν μὴ
ἐπέλθῃ§ ἐφ' ὑμᾶς* τὸ εἰρημένον ἐν τοῖς
προφήταις· 41 ‹Ἴδετε, οἱ καταφρονηταί, καὶ
θαυμάσατε† καὶ ἀφανίσθητε· ὅτι ἔργον ἐγὼ
ἐργάζομαι‡ ἐν ταῖς ἡμέραις ὑμῶν§ ᾧ * οὐ μὴ
πιστεύσητε, ἐάν τις ἐκδιηγῆται ὑμῖν.› »

## *The reaction*

---

‡ **13:35** διο **f**35 C [98%] HF,RP,OC,TR,CP ¦ διοτι אA,B [2%] NU ¦ — D § **13:37** ον δε *rell* ¦ ο 2 D ¦ — [20%] * **13:39** και **f**35 B,D [98%] HF,RP,OC,TR,CP[NU] ¦ — אA,C [2%] † **13:39** εν **f**35 אA,B,C,D [20%] NU ¦ 1 τω [80%] HF,RP,OC,TR,CP ‡ **13:39** μωυσεος **f**35 [25%] ¦ μωυσεως אB,C [35%] HF,RP,OC,CP,NU ¦ μωσεως A,D [40%] TR § **13:40** επελθη *rell* ¦ επελθοι [2%] CP ¦ απελθη א * **13:40** εφ υμας **f**35 A,C [97%] HF,RP,OC,TR,CP ¦ — אB,D [3%] NU † **13:41** θαυμασατε **f**35 A,B,D [91%] HF,RP,OC,TR,NU ¦ θαυμασετε א [1%] ¦ θαυμασαται C [1%] ¦ 1 και επιβλεψατε [3%] CP ¦ επιβλεψατε και 1 [4%] ‡ **13:41** εγω εργαζομαι **f**35 C [97%] HF,RP,OC,TR,CP ¦ 21 A,B,D [3%] NU ¦ ο 121 א § **13:41** υμων **f**35 D [95%] HF,RP,CP ¦ 1 εργον אA,B,C [5%] OC,TR,NU * **13:41** ω **f**35 [25%] OC,TR ¦ ο אA,B,C,D [70%] HF,RP,CP,NU ¦ ος [5%]

42 Ἐξιόντων δὲ ἐκ τῆς συναγωγῆς τῶν

Ἰουδαίων,† παρεκάλουν τὰ ἔθνη‡ εἰς τὸ μεταξὺ

† **13:42** 1) δε εκ της συναγωγης των ιουδαιων **f**35 (60.2%) HF,RP,TR 2) δε αυτων ℵA,B,C,D (16.2%) NU 3) δε αυτων εκ της συναγωγης των ιουδαιων (20.8%) OC,CP 4) δε αυτων εκ της συναγωγης (2.3%) (two other readings) (0.4%) I believe this variant set must be considered along with the presence of τα εθνη after παρεκαλουν, but *TuT* does not include the second set. However, from UBS3 it appears that virtually the same roster of witnesses, including the three ancient versions (!), read variant 2) AND omit "the Gentiles". Where then is the Subject of the main verb παρεκαλουν? Presumably for those witnesses it would be the Jews and proselytes who had just heard Paul and wanted to hear it all over again the next Sabbath. So why are they (Jews and proselytes) mentioned overtly again in verse 43? And on what basis would the whole city show up the next week (v. 44)? But to go back to verse 42, why would the first hearers want to hear the same thing (τα ρηματα ταυτα) again anyway? The really interested ones stuck with Paul and Barnabas to learn more (v. 43), just as we would expect. The witnesses to variants 1) and 3) join in support of "the Gentiles", giving us a strong majority (over 80%). So the Subject of παρεκαλουν is τα εθνη—**they** want a chance to hear the Gospel too, and the whole city turns out. It fits the context perfectly. So, variant 3) appears to be a conflation and the basic reading is variant 1). The witnesses to variant 3), because they have "the Gentiles", are really on the side of variant 1), not 2), so presumably 1) may be viewed as having 80% attestation. For the witnesses to variant 1) the antecedent or referent of εξιοντων must be Paul's group, since the Gentiles would presumably address their request to the teacher. In variant 2) αυτων presumably serves as Subject of both the participle and the main verb, but in that event the main verb should take precedence and the pronoun should be nominative, not genitive. However one might explain the motivation for such a change—from 1) to 2) and deleting "the Gentiles"—variant 2) is evidently wrong, even though attested by the three ancient versions. Perhaps someone faced with variant 1) took "of the Jews" to be the referent of the participle instead of modifying "synagogue" (like NKJV), and thought it should be Subject of the main verb as well—then, of course, "the Gentiles" were in the way and were deleted. Then 1) might have been shortened to 2) for 'clarity'.

σάββατον λαληθῆναι αὐτοῖς τὰ ῥήματα
ταῦτα.§ 43 Λυθείσης δὲ τῆς συναγωγῆς,
ἠκολούθησαν πολλοὶ τῶν Ἰουδαίων καὶ
τῶν σεβομένων προσηλύτων τῷ Παύλῳ
καὶ τῷ Βαρνάβᾳ, οἵτινες προσλαλοῦντες*
ἔπειθον ἐπιμένειν αὐτοὺς† τῇ χάριτι τοῦ
Θεοῦ. 44 Τῷ τε‡ ἐρχομένῳ σαββάτῳ σχεδὸν
πᾶσα ἡ πόλις συνήχθη ἀκοῦσαι τὸν λόγον τοῦ
Θεοῦ.§ 45 Ἰδόντες δὲ οἱ Ἰουδαῖοι τοὺς ὄχλους,
ἐπλήσθησαν ζήλου καὶ ἀντέλεγον τοῖς ὑπὸ
τοῦ* Παύλου λεγομένοις,† ἀντιλέγοντες καὶ‡
βλασφημοῦντες.
46 Παρρησιασάμενοι δὲ§ ὁ Παῦλος καὶ ὁ
Βαρνάβας εἶπον·* «Ὑμῖν ἦν ἀναγκαῖον πρῶτον
λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ. Ἐπειδὴ δὲ†
ἀπωθεῖσθε‡ αὐτόν, καὶ οὐκ ἀξίους κρίνετε

---

‡ **13:42** τα εθνη **f**35 [85%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C,D [15%] NU § **13:42** τα ρηματα ταυτα **f**35 ℵA,B,C [50%] HF,OC,TR,NU ¦ 12 [50%] RP ¦ 1 αυτα 2 CP ¦ 23 D * **13:43** προσλαλουντες **f**35 [95%] HF,RP ¦ 1 αυτοις ℵA,B,C,D [5%] OC,TR,CP,NU † **13:43** επιμενειν αυτους **f**35 [20%] ¦ 21 [64%] HF,RP,TR,CP ¦ 2 προσμενειν (ℵ)(A),B,C,D [15%] OC,NU ¦ προσμενειν 2 [1%] ‡ **13:44** τε **f**35 B [90%] HF,RP,OC,CP ¦ δε ℵA,D [10%] TR,NU § **13:44** θεου **f**35 B,C [96%] HF,RP,OC,TR,CP ¦ κυριου ℵA,D [4%] NU * **13:45** του **f**35 C,D [97%] HF,RP,OC,TR,CP ¦ — ℵA,B [3%] NU † **13:45** λεγομενοις **f**35 C,D [97%] HF,RP,OC,TR,CP ¦ λαλουμενοις ℵA,B [3%] NU ‡ **13:45** αντιλεγοντες και **f**35 D (80%) HF,RP,OC,TR,CP ¦ — ℵA,B,C (19.6%) NU ¦ one other variant (0.4%) § **13:46** δε **f**35 [96%] HF,RP,OC,TR,CP ¦ τε ℵA,B,C,D [4%] NU * **13:46** ειπον *rell* ¦ ειπαν ℵA,B(D) [3%] NU † **13:46** δε **f**35 𝔓45 A,C [99%] HF,RP,OC,TR,CP ¦ — ℵB,D [1%] NU ‡ **13:46** απωθεισθε *rell* ¦ αποθεισθε [20%] ¦ απωθεισθαι (ℵ)A,C,D [5%]

ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα
εἰς τὰ ἔθνη. 47 Οὕτως γὰρ ἐντέταλται ἡμῖν
ὁ Κύριος· ‹Τέθεικά§ σε εἰς φῶς ἐθνῶν, τοῦ
εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς
γῆς.› » 48 Ἀκούοντα δὲ τὰ ἔθνη ἔχαιρον,*
καὶ ἐδόξαζον† τὸν λόγον τοῦ Κυρίου·‡ καὶ
ἐπίστευσαν ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν
αἰώνιον.
49 Διεφέρετο δὲ ὁ λόγος τοῦ Κυρίου δι᾽ ὅλης
τῆς χώρας. 50 Οἱ δὲ Ἰουδαῖοι παρώτρυναν
τὰς σεβομένας γυναῖκας καὶ§ τὰς εὐσχήμονας
καὶ τοὺς πρώτους τῆς πόλεως, καὶ ἐπήγειραν
διωγμὸν ἐπὶ τὸν Παῦλον καὶ τὸν* Βαρνάβαν,
καὶ ἐξέβαλον αὐτοὺς ἀπὸ τῶν ὁρίων αὐτῶν.
51 Οἱ δὲ ἐκτιναξάμενοι† τὸν κονιορτὸν‡ τῶν
ποδῶν αὐτῶν§ ἐπ᾽ αὐτούς, ἦλθον εἰς Ἰκόνιον.
52 Οἱ δὲ* μαθηταὶ ἐπληροῦντο χαρᾶς καὶ
Πνεύματος Ἁγίου.

# 14

## *Iconium*

---

§ **13:47** τεθεικα *rell* ¦ τεθηκα [20%] ¦ τεθικα א * **13:48** εχαιρον **f**$^{35}$ אA,B,C,D [49%] OC,TR,NU ¦ εχαιρεν [50%] HF,RP,CP ¦ two other variants [1%] † **13:48** εδοξαζον *rell* ¦ εδοξαζεν [30%] ¦ εδεξαντο D,OC ‡ **13:48** κυριου *rell* ¦ θεου B,D [15%] ¦ θεον [6%] § **13:50** και **f**$^{35}$ א [95%] HF,RP,OC,TR,CP ¦ — A,B,C,D [5%] NU * **13:50** τον **f**$^{35}$ [78%] HF,RP,OC,TR,CP ¦ — 𝔓$^{45}$אA,B,C,D [22%] NU † **13:51** εκτιναξαμενοι *rell* ¦ εκτειναξαμενοι [15%] ‡ **13:51** κονιορτον *rell* ¦ 1 απο [22%] § **13:51** αυτων **f**$^{35}$ D [90%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [10%] NU * **13:52** δε **f**$^{35}$ אC,D [97%] HF,RP,OC,TR,CP ¦ τε A,B [3%] NU ¦ γε 𝔓$^{45}$

1 Ἐγένετο δὲ ἐν Ἰκονίῳ κατὰ τὸ αὐτὸ
εἰσελθεῖν αὐτοὺς εἰς τὴν συναγωγὴν τῶν
Ἰουδαίων, καὶ λαλῆσαι οὕτως ὥστε πιστεῦσαι
Ἰουδαίων τε καὶ Ἑλλήνων πολὺ πλῆθος.
2 Οἱ δὲ ἀπειθοῦντες* Ἰουδαῖοι ἐπήγειραν
καὶ ἐκάκωσαν τὰς ψυχὰς τῶν ἐθνῶν κατὰ
τῶν ἀδελφῶν. 3 Ἱκανὸν μὲν οὖν χρόνον
διέτριψαν, παρρησιαζόμενοι ἐπὶ τῷ Κυρίῳ,
τῷ μαρτυροῦντι† τῷ λόγῳ τῆς χάριτος
αὐτοῦ,‡ διδόντι σημεῖα καὶ τέρατα γίνεσθαι
διὰ τῶν χειρῶν αὐτῶν. 4 Ἐσχίσθη δὲ τὸ
πλῆθος τῆς πόλεως· καὶ οἱ μὲν ἦσαν σὺν
τοῖς Ἰουδαίοις, οἱ δὲ σὺν τοῖς ἀποστόλοις.
5 Ὡς δὲ ἐγένετο ὁρμὴ τῶν ἐθνῶν τε καὶ
Ἰουδαίων, σὺν τοῖς ἄρχουσιν αὐτῶν, ὑβρίσαι
καὶ λιθοβολῆσαι§ αὐτούς, 6 συνιδόντες
κατέφυγον εἰς τὰς πόλεις τῆς Λυκαονίας
—Λύστραν καὶ Δέρβην, καὶ τὴν περίχωρον—
7 κἀκεῖ ἦσαν εὐαγγελιζόμενοι.*

### *Lystra*

8 Καί τις ἀνὴρ ἐν Λύστροις ἀδύνατος†
τοῖς ποσὶν ἐκάθητο (χωλὸς ἐκ κοιλίας

---

* **14:2** απειθουντες **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ απειθησαντες (א)A,B(C) [5%] NU ¦ D is wild † **14:3** μαρτυρουντι *rell* ¦ 1 επι אA[NU] ‡ **14:3** αυτου **f**[35] אA,B,D [90%] HF,RP,OC,CP,NU ¦ 1 και C [10%] TR § **14:5** λιθοβολησαι *rell* ¦ λιθοβολισαι [14%] * **14:7** ησαν ευαγγελιζομενοι **f**[35] C [95%] HF,RP,OC,TR,CP ¦ 21 אA,B,D [5%] NU † **14:8** εν λυστροις αδυνατος **f**[35] A,C [97%] HF,RP,OC,TR,CP ¦ 312 אB [1%] NU ¦ εκαθητο 3 D ¦ three other variants [2%]

μητρὸς αὐτοῦ ὑπάρχων,‡ ὃς οὐδέποτε
περιπεπατήκει).§ 9 Οὗτος ἤκουεν* τοῦ Παύλου
λαλοῦντος· ὃς ἀτενίσας αὐτῷ καὶ ἰδὼν ὅτι
πίστιν ἔχει† τοῦ σωθῆναι, 10 εἶπεν μεγάλῃ
τῇ‡ φωνῇ,§ «Ἀνάστηθι ἐπὶ τοὺς πόδας σου
ὀρθός.»* Καὶ ἥλλατο† καὶ περιεπάτει. 11 Οἱ δὲ‡
ὄχλοι, ἰδόντες ὃ ἐποίησεν ὁ § Παῦλος, ἐπῆραν
τὴν φωνὴν αὐτῶν* Λυκαονιστὶ λέγοντες, «Οἱ
θεοὶ ὁμοιωθέντες ἀνθρώποις κατέβησαν πρὸς
ἡμᾶς.» 12 Ἐκάλουν τε† τὸν μὲν‡ Βαρνάβαν,
Δία,§ τὸν δὲ Παῦλον, Ἑρμῆν, ἐπειδὴ αὐτὸς
ἦν ὁ ἡγούμενος τοῦ λόγου. 13 Ὁ δὲ* ἱερεὺς

---

‡ **14:8** υπαρχων **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — אA,B,C,D [5%] NU § **14:8** περιπεπατηκει **f**35 [76%] HF,RP,OC,TR,CP ¦ περιεπατησεν אA,B,C [5%] NU ¦ περιπατηκει [12%] ¦ περιεπεπατηκει [6%] some TRs ¦ περειπεπατικει D ¦ two further variants * **14:9** ηκουεν **f**35 B,C [75%] TR,CP ¦ ηκουσεν אA,D [25%] HF,RP,OC,NU † **14:9** πιστιν εχει **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 21 אA,B,C,D [5%] NU ‡ **14:10** τη **f**35 A [98%] HF,RP,OC,TR,CP ¦ — אB,C,D [2%] NU § **14:10** φωνη **f**35 אA,B [95%] HF,RP,OC,TR,NU ¦ 1 σοι λεγω εν τω ονοματι του κυριου ιησου χριστου C,D [5%] CP * **14:10** ορθος **f**35 אB,C,D [45%] HF,OC,TR,CP,NU ¦ ορθως [50%] RP ¦ ορθρος A [5%] † **14:10** ηλλατο **f**35 [30%] ¦ ηλλετο [35%] HF,RP,TR,CP ¦ ηλετο [19%] ¦ ηλατο אA,B,C [15%] OC,NU ¦ ανηλατο D ¦ three other variants [1%] (Presumably an unusual form of the 1st aorist that some 'corrected' by making it imperfect, while others deleted the 'extra' λ.) ‡ **14:11** δε **f**35 C,D [98%] HF,RP,OC,TR,CP ¦ τε אA,B [2%] NU § **14:11** ο **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — אA,B,C,D [5%] NU * **14:11** την φωνην αυτων *rell* ¦ 312 [30%] † **14:12** τε *rell* ¦ δε D [11%] ‡ **14:12** μεν **f**35 [96%] HF,RP,OC,TR,CP ¦ — אA,B,C,D [4%] NU § **14:12** δια *rell* ¦ διαν [20%] * **14:13** ο δε **f**35 [95%] HF,RP,OC,TR,CP ¦ ο τε אA,B [4%] NU ¦ τοτε C [1%] ¦ οι 2 D

τοῦ Διός, τοῦ ὄντος πρὸ τῆς πόλεως αὐτῶν,†
ταύρους καὶ στέμματα ἐπὶ τοὺς πυλῶνας
ἐνέγκας, σὺν τοῖς ὄχλοις ἤθελεν‡ θύειν.
14 Ἀκούσαντες δὲ οἱ ἀπόστολοι, Βαρνάβας
καὶ Παῦλος, διαρρήξαντες τὰ ἱμάτια αὐτῶν,
εἰσεπήδησαν§ εἰς τὸν ὄχλον, κράζοντες 15 καὶ
λέγοντες· «Ἄνδρες, τί ταῦτα ποιεῖτε; Καὶ*
ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν† ἄνθρωποι,
εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τούτων τῶν
ματαίων ἐπιστρέφειν ἐπὶ τὸν‡ Θεὸν τὸν§
ζῶντα, ὃς ἐποίησεν τὸν οὐρανὸν καὶ τὴν γῆν
καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς·
16 ὃς ἐν ταῖς παρῳχημέναις γενεαῖς εἴασεν
πάντα τὰ ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν.
17 Καίτοιγε* οὐκ ἀμάρτυρον ἑαυτὸν† ἀφῆκεν,
ἀγαθοποιῶν,‡ οὐρανόθεν ὑμῖν§ ὑετοὺς διδοὺς
καὶ καιροὺς καρποφόρους, ἐμπιπλῶν τροφῆς
καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν.»* 18 Καὶ

† **14:13** αυτων **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [5%] NU ¦ αυτοις (D) ‡ **14:13** ηθελεν *rell* ¦ ηθελον D [35%] § **14:14** εισεπηδησαν **f**35 [94%] HF,RP,OC,TR,CP ¦ εξεπηδησαν אA,B,C,D [6%] NU * **14:15** και *rell* ¦ — 𝔓45D [15%] † **14:15** υμιν εσμεν **f**35 C [20%] ¦ 21 𝔓45vאA,B(D) [60%] HF,RP,OC,TR,CP,NU ¦ 2 [20%] ‡ **14:15** τον **f**35 𝔓45D [94%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [6%] NU § **14:15** τον **f**35 𝔓45א [94%] HF,RP,OC,TR,CP ¦ — A,B,C,D [6%] NU * **14:17** καιτοιγε **f**35 א [95%] HF,RP,OC,TR,CP ¦ καιτοι A,B,C [3%] NU ¦ και γε 𝔓45D [1%] ¦ two other variants † **14:17** εαυτον **f**35 C(D) [98%] HF,RP,OC,TR,CP ¦ αυτον 𝔓45אA,B [2%] NU ‡ **14:17** αγαθοποιων **f**35 D [96%] HF,RP,OC,TR,CP ¦ αγαθουργων אA,B,C [4%] NU § **14:17** υμιν **f**35 𝔓45אB,C(D) [83%] HF,RP,OC,NU ¦ ημιν [15%] TR,CP ¦ — A [2%] * **14:17** ημων **f**35 A [75%] HF,RP,TR,CP ¦ υμων אB,C,D [20%] OC,NU ¦ — [5%]

ταῦτα λέγοντες, μόλις κατέπαυσαν τοὺς
ὄχλους τοῦ μὴ θύειν αὐτοῖς.†

*Paul stoned*

19 Ἐπῆλθον‡ δὲ ἀπὸ Ἀντιοχείας καὶ Ἰκονίου
Ἰουδαῖοι, καὶ πείσαντες τοὺς ὄχλους καὶ
λιθάσαντες τὸν Παῦλον, ἔσυραν§ ἔξω τῆς
πόλεως, νομίσαντες* αὐτὸν τεθνάναι.†
20 Κυκλωσάντων δὲ τῶν μαθητῶν αὐτόν,‡
ἀναστὰς εἰσῆλθεν εἰς τὴν πόλιν. Καὶ τῇ
ἐπαύριον ἐξῆλθεν σὺν τῷ Βαρνάβᾳ εἰς Δέρβην.

*The return to Antioch*

21 Εὐαγγελισάμενοί§ τε τὴν πόλιν ἐκείνην
καὶ μαθητεύσαντες ἱκανούς, ὑπέστρεψαν
εἰς* Λύστραν καὶ† Ἰκόνιον καὶ‡ Ἀντιόχειαν,
22 ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν,
παρακαλοῦντες ἐμμένειν τῇ πίστει, καὶ ὅτι
«Διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς
τὴν βασιλείαν τοῦ Θεοῦ.» 23 Χειροτονήσαντες

---

† **14:18** αυτοις **f**35 𝔭45ℵA,B [90%] HF,RP,OC,TR,NU ¦ 1 διατριβοντων δε αυτων και διδασκοντων C,D [10%] CP ‡ **14:19** επηλθον *rell* ¦ επηλθαν ℵA,B [1%] NU ¦ ανηλθον 𝔭45 [12%] § **14:19** εσυραν **f**35 D [43%] OC,CP ¦ εσυρον ℵA,B,C [57%] HF,RP,TR,NU * **14:19** νομισαντες **f**35 C [96%] HF,RP,OC,TR,CP ¦ νομιζοντες 𝔭45ℵA,B,D [4%] NU † **14:19** τεθναναι **f**35 (D) [94%] HF,RP,OC,TR,CP ¦ τεθνηκεναι ℵA,B,C [6%] NU ‡ **14:20** των μαθητων αυτον **f**35 ℵA,B,C [22%] NU ¦ 312 [55%] HF,RP,OC,TR ¦ αυτων 12 [20%] CP ¦ 12 αυτου D ¦ 12 αυτου 3 𝔭45 ¦ three other variants [2%] § **14:21** ευαγγελισαμενοι *rell* ¦ ευαγγελιζομενοι A,D [20%] * **14:21** εις **f**35 D [20%] ¦ 1 την ℵA,B,C [80%] HF,RP,OC,TR,CP,NU † **14:21** και **f**35 𝔭45D [90%] HF,RP,OC,TR,CP ¦ 1 εις ℵA,B,C [5%] NU ¦ 1 το [5%] ‡ **14:21** και **f**35 B,D [95%] HF,RP,OC,TR,CP ¦ 1 εις ℵA,C [5%] NU

δὲ αὐτοῖς πρεσβυτέρους κατ᾽ ἐκκλησίαν,§
προσευξάμενοι μετὰ νηστειῶν, παρέθεντο
αὐτοὺς τῷ Κυρίῳ εἰς ὃν πεπιστεύκεισαν.*
24 Καὶ διελθόντες τὴν Πισιδίαν, ἦλθον εἰς†
Παμφυλίαν. 25 Καὶ λαλήσαντες ἐν Πέργῃ τὸν
λόγον, κατέβησαν εἰς Ἀττάλειαν.‡ 26 Κἀκεῖθεν
ἀπέπλευσαν εἰς Ἀντιόχειαν, ὅθεν ἦσαν
παραδεδομένοι τῇ χάριτι τοῦ Θεοῦ εἰς τὸ
ἔργον ὃ ἐπλήρωσαν. 27 Παραγενόμενοι δὲ καὶ
συναγαγόντες τὴν ἐκκλησίαν, ἀνήγγειλαν§
ὅσα ἐποίησεν ὁ Θεὸς μετ᾽ αὐτῶν, καὶ
ὅτι ἤνοιξεν τοῖς ἔθνεσιν θύραν πίστεως.
28 Διέτριβον δὲ ἐκεῖ* χρόνον οὐκ ὀλίγον σὺν
τοῖς μαθηταῖς.

# 15

## *The Jerusalem Council*

### *The conflict*

1 Καὶ τινες κατελθόντες ἀπὸ τῆς Ἰουδαίας
ἐδίδασκον τοὺς ἀδελφοὺς ὅτι «Ἐὰν μὴ

---

§ **14:23** πρεσβυτερους κατ εκκλησιαν **f**35 [94%] HF,RP,TR,CP ¦ 231 ℵA,B,C(D) [6%] NU ¦ 123 και OC (in small print) * **14:23** πεπιστευκεισαν *rell* ¦ επεπιστευκεισαν [14%] ¦ πεπιστευκισαν ℵC ¦ πεπιστευκασιν D [2%] OC ¦ πεπιστευκησαν [1%] ¦ πεπειστευκεισαν A † **14:24** εις **f**35 A,D [97%] HF,RP,OC,TR,CP ¦ 1 την ℵB,C [3%] NU ‡ **14:25** ατταλειαν *rell* ¦ αταλειαν [15%] ¦ αταλιαν [10%] ¦ ατταλιαν ℵA,B,C,D [8%] ¦ two other spellings § **14:27** ανηγγειλαν **f**35 [92%] HF,RP,OC,TR,CP ¦ ανηγγελλον ℵA,B,C [3%] NU ¦ ανηγγειλον D ¦ απηγγειλαν [5%] * **14:28** εκει **f**35 [96%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C,D [4%] NU

περιτέμνησθε* τῷ ἔθει† Μωϋσέος,‡ οὐ
δύνασθε σωθῆναι.» 2 Γενομένης οὖν§
στάσεως καὶ ζητήσεως* οὐκ ὀλίγης τῷ
Παύλῳ καὶ τῷ Βαρνάβᾳ πρὸς αὐτούς, ἔταξαν
ἀναβαίνειν Παῦλον καὶ Βαρνάβαν, καί τινας
ἄλλους ἐξ αὐτῶν, πρὸς τοὺς ἀποστόλους
καὶ πρεσβυτέρους εἰς Ἱερουσαλὴμ περὶ
τοῦ ζητήματος τούτου. 3 Οἱ μὲν οὖν,
προπεμφθέντες ὑπὸ τῆς ἐκκλησίας, διήρχοντο
τὴν† Φοινίκην καὶ‡ Σαμάρειαν, ἐκδιηγούμενοι
τὴν ἐπιστροφὴν τῶν ἐθνῶν· καὶ ἐποίουν
χαρὰν μεγάλην πᾶσιν τοῖς ἀδελφοῖς.
4 Παραγενόμενοι δὲ εἰς Ἱερουσαλήμ,
ἀπεδέχθησαν§ ὑπὸ* τῆς ἐκκλησίας καὶ
τῶν ἀποστόλων καὶ τῶν πρεσβυτέρων,
ἀνήγγειλάν τε ὅσα ὁ Θεὸς ἐποίησεν
μετ᾿ αὐτῶν.† 5 Ἐξανέστησαν δέ τινες
τῶν ἀπὸ τῆς αἱρέσεως τῶν Φαρισαίων
πεπιστευκότες,‡ λέγοντες ὅτι «Δεῖ περιτέμνειν

---

* **15:1** περιτεμνησθε **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ περιτμηθητε אA,C(D) [4%] NU ¦ περιθμητε B † **15:1** εθει **f**$^{35}$ D [95%] HF,RP,OC,TR,CP ¦ 1 τω אA,B,C [2%] NU ¦ 1 του [3%] ‡ **15:1** μωυσεος **f**$^{35}$ [28%] CP ¦ μωυσεως אB,C [55%] HF,RP,OC,TR,NU ¦ μωσεως A,D [17%] § **15:2** ουν **f**$^{35}$ A [93%] HF,RP,OC,TR,CP ¦ δε 𝔭$^{45v}$אB,C,D [7%] NU * **15:2** ζητησεως **f**$^{35}$ אA,B,C [95%] HF,RP,OC,CP,NU ¦ συζητησεως [5%] TR † **15:3** την **f**$^{35}$ A [97%] HF,RP,OC,TR,CP ¦ 1 τε 𝔭$^{45}$אB,C [3%] NU ‡ **15:3** και *rell* ¦ 1 την D [20%] § **15:4** απεδεχθησαν **f**$^{35}$ C [96%] HF,RP,OC,TR,CP ¦ παρεδεχθησαν 𝔭$^{45v}$אA,B [3%] NU ¦ παρεδοθησαν D ¦ two other variants [1%] * **15:4** υπο **f**$^{35}$ אA [99%] HF,RP,OC,TR,CP ¦ απο B,C [1%] NU † **15:4** αυτων *rell* ¦ 1 και οτι ηνοιξεν τοις εθνεσιν θυραν πιστεως [35%] OC ‡ **15:5** πεπιστευκοτες *rell* ¦ πεπιστευκοτων [15%]

αὐτούς, παραγγέλλειν§ τε τηρεῖν τὸν νόμον Μωσέως.»*

## *The Council*

6 Συνήχθησαν δὲ† οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι ἰδεῖν περὶ τοῦ λόγου τούτου.
7 Πολλῆς δὲ συζητήσεως‡ γενομένης, ἀναστὰς Πέτρος εἶπεν πρὸς αὐτούς· «Ἄνδρες ἀδελφοί, ὑμεῖς ἐπίστασθε ὅτι ἀφ᾽ ἡμερῶν ἀρχαίων ὁ Θεὸς ἐν ὑμῖν ἐξελέξατο,§ διὰ τοῦ στόματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ εὐαγγελίου καὶ πιστεῦσαι.
8 Καὶ ὁ καρδιογνώστης Θεὸς ἐμαρτύρησεν αὐτοῖς δοὺς αὐτοῖς* τὸ Πνεῦμα τὸ Ἅγιον, καθὼς καὶ ἡμῖν·
9 καὶ οὐδὲν† διέκρινεν μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, τῇ πίστει καθαρίσας τὰς καρδίας αὐτῶν.
10 Νῦν οὖν, τί πειράζετε τὸν Θεόν, ἐπιθεῖναι‡ ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν ὃν οὔτε οἱ πατέρες ἡμῶν οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι;
11 Ἀλλά, διὰ τῆς χάριτος

---

§ **15:5** παραγγελλειν *rell* ¦ παραγγελειν [15%] ¦ four further spellings א [5%] * **15:5** μωσεως **f**35 A,D [35%] CP ¦ μωυσεως 𝔓45אB,C [60%] HF,RP,OC,TR,NU ¦ μωυσεος [5%] † **15:6** δε **f**35 אA,D [97%] HF,RP,OC,TR,CP ¦ τε B,C [3%] NU ‡ **15:7** συζητησεως **f**35 (C,D) [95%] HF,RP,OC,TR,CP ¦ ζητησεως 𝔓45אA,B [5%] NU § **15:7** ο θεος εν υμιν εξελεξατο **f**35 [30%] ¦ 123 ημιν 5 [55%] HF,RP,OC,TR,CP ¦ 12 ημιν 5 [5%] ¦ 125 (1.5%) ¦ 34512 אA,B,C [5%] NU ¦ 3 ημιν 512 [1%] ¦ 3 ημιν 125 [1%] ¦ ημιν 125 (D) [1%] * **15:8** αυτοις **f**35 C(D) [97%] HF,RP,OC,TR,CP ¦ — אA,B [3%] NU † **15:9** ουδεν **f**35 אA,C,D [40%] HF,RP,OC,TR,CP ¦ ουθεν B [60%] NU ‡ **15:10** επιθειναι *rell* ¦ επιθηναι [22%]

τοῦ§ Κυρίου Ἰησοῦ* πιστεύομεν σωθῆναι,
καθ᾽ ὃν τρόπον κἀκεῖνοι.»
12 Ἐσίγησεν δὲ πᾶν τὸ πλῆθος† καὶ ἤκουον
Βαρνάβα καὶ Παύλου ἐξηγουμένων ὅσα
ἐποίησεν ὁ Θεὸς σημεῖα καὶ τέρατα ἐν τοῖς
ἔθνεσιν δι᾽ αὐτῶν. 13 Μετὰ δὲ τὸ σιγῆσαι
αὐτούς, ἀπεκρίθη Ἰάκωβος λέγων· 14 «Ἄνδρες
ἀδελφοί, ἀκούσατέ μου. Συμεὼν ἐξηγήσατο
καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ
ἐθνῶν λαὸν ἐπὶ‡ τῷ ὀνόματι αὐτοῦ. 15 Καὶ
τούτῳ§ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν,
καθὼς γέγραπται· 16 ‹Μετὰ ταῦτα ἀναστρέψω,
καὶ ἀνοικοδομήσω τὴν σκηνὴν Δαυίδ, τὴν
πεπτωκυῖαν· καὶ τὰ κατεσκαμμένα αὐτῆς
ἀνοικοδομήσω καὶ ἀνορθώσω αὐτήν· 17 ὅπως
ἂν ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων
τὸν Κύριον, καὶ πάντα τὰ ἔθνη—ἐφ᾽ οὓς
ἐπικέκληται τὸ ὄνομά μου ἐπ᾽ αὐτούς—λέγει
Κύριος ὁ * ποιῶν ταῦτα πάντα.›† 18 Γνωστὰ
ἀπ᾽ αἰῶνός ἐστιν τῷ Θεῷ πάντα τὰ ἔργα
αὐτοῦ.‡ 19 Διὸ ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς

§ **15:11** του *rell* ¦ — [5%] TR * **15:11** ιησου **f**[35] ℵA,B [95%] HF,RP,OC,NU ¦ 1 χριστου C,D [5%] TR,CP † **15:12** παν το πληθος *rell* ¦ 23 απαν CP ¦ απαν 23 [2%] ¦ 23 [1%] ‡ **15:14** επι **f**[35] [87%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C,D [13%] NU § **15:15** τουτω *rell* ¦ τουτο [25%] ¦ ουτως D * **15:17** ο **f**[35] A,C [98%] HF,RP,OC,TR,CP ¦ — ℵB,D [2%] NU † **15:17** ταυτα παντα **f**[35] [48%] HF,RP,OC,TR ¦ 21 [45%] CP ¦ 1 ℵA,B,C,D [7%] NU ‡ **15:18** εστιν (εισιν 6%; −ε. A 1%) τω θεω (κυριω A,D 2.5%) παντα (−π. A,D 2.5%) τα εργα (το εργον A,D 1%) αυτου **f**[35] (A,D) [90%] HF,RP,OC,TR ¦ — ℵB,C [5%] NU ¦ CP gives the whole verse as: α εστι γνωστα απ αιωνος αυτω (5%)

ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσιν ἐπὶ τὸν Θεόν,
20 ἀλλ’§ ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι
ἀπὸ* τῶν ἀλισγημάτων τῶν εἰδώλων† καὶ
τῆς πορνείας καὶ τοῦ πνικτοῦ καὶ τοῦ
αἵματος. 21 Μωσῆς‡ γὰρ ἐκ γενεῶν ἀρχαίων
κατὰ πόλιν τοὺς κηρύσσοντας αὐτὸν ἔχει,
ἐν ταῖς συναγωγαῖς κατὰ πᾶν σάββατον
ἀναγινωσκόμενος.»

*The edict*

22 Τότε ἔδοξεν τοῖς ἀποστόλοις καὶ
τοῖς πρεσβυτέροις, σὺν ὅλῃ τῇ ἐκκλησίᾳ,
ἐκλεξαμένους ἄνδρας ἐξ αὐτῶν πέμψαι
εἰς Ἀντιόχειαν σὺν§ Παύλῳ καὶ Βαρνάβᾳ·
Ἰούδαν (τὸν ἐπικαλούμενον* Βαρσαβᾶν)†
καὶ Σίλαν, ἄνδρας ἡγουμένους ἐν τοῖς
ἀδελφοῖς· 23 γράψαντες διὰ χειρὸς αὐτῶν
τάδε·‡ «Οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι
καὶ οἱ§ ἀδελφοί, τοῖς κατὰ* Ἀντιόχειαν
καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ

---

§ **15:20** αλλ **f**[35] 𝔭[45]B,C [55%] ¦ αλλα ℵA [45%] HF,RP,OC,TR,CP,NU * **15:20** απο **f**[35] A,C [98%] HF,RP,OC,TR,CP ¦ — 𝔭[45]ℵB,D [2%] NU † **15:20** ειδωλων *rell* ¦ ειδολων [20%] ‡ **15:21** μωσης **f**[35] 𝔭[45]A [35%] TR ¦ μωυσης ℵB,C,D [65%] HF,RP,OC,CP,NU § **15:22** συν **f**[35] D [93%] HF,RP,CP ¦ 1 τω ℵA,B,C [7%] OC,TR,NU * **15:22** επικαλουμενον **f**[35] [87%] HF,RP,OC,TR,CP ¦ καλουμενον 𝔭[45]ℵA,B,C,D [13%] NU † **15:22** βαρσαβαν **f**[35] [50%] TR ¦ βαρσαββαν ℵA,B,C(D) [50%] HF,RP,OC,CP,NU ‡ **15:23** ταδε **f**[35] (C,D) (97.7%) HF,RP,OC,TR,CP ¦ — 𝔭[45]ℵA,B (1.3%) NU ¦ ταυτα (0.8%) ¦ one other variant § **15:23** και οι **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C,D [3%] NU * **15:23** κατα **f**[35] [20%] ¦ 1 την ℵA,B,C,D [80%] HF,RP,OC,TR,CP,NU

ἐθνῶν· Χαίρειν. 24 Ἐπειδὴ† ἠκούσαμεν ὅτι
τινὲς ἐξ ἡμῶν‡ ἐξελθόντες§ ἐτάραξαν ὑμᾶς
λόγοις, ἀνασκευάζοντες τὰς ψυχὰς ὑμῶν,
λέγοντες περιτέμνεσθαι καὶ τηρεῖν τὸν
νόμον*—οἷς οὐ διεστειλάμεθα— 25 ἔδοξεν
ἡμῖν, γενομένοις ὁμοθυμαδόν, ἐκλεξαμένοις†
ἄνδρας πέμψαι πρὸς ὑμᾶς σὺν τοῖς ἀγαπητοῖς
ἡμῶν Βαρνάβᾳ καὶ Παύλῳ,‡ 26 ἀνθρώποις
παραδεδωκόσιν τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ
ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.
27 Ἀπεστάλκαμεν οὖν Ἰούδαν καὶ Σίλαν,
καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ
αὐτά. 28 Ἔδοξεν γὰρ τῷ Ἁγίῳ Πνεύματι,§ καὶ
ἡμῖν, μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος
πλὴν τῶν ἐπάναγκες τούτων·* 29 ἀπέχεσθαι
εἰδωλοθύτων καὶ αἵματος καὶ πνικτοῦ† καὶ
πορνείας·‡ ἐξ ὧν διατηροῦντες ἑαυτοὺς εὖ

---

† **15:24** επειδη *rell* ¦ επιδη D [14%] ¦ επι δε א [1%] ‡ **15:24** εξ ημων **f**$^{35}$ A,B,C [95%] HF,RP,OC,TR,NU ¦ — [4%] CP ¦ 1 υμων א [1%] § **15:24** εξελθοντες **f**$^{35}$ A(C)D (95%) HF,RP,OC,TR,CP[NU] ¦ ελθοντες (3.3%) ¦ — אB (1.7%) * **15:24** λεγοντες περιτεμνεσθαι και τηρειν τον νομον **f**$^{35}$ C [96%] HF,RP,OC,TR,CP ¦ — 𝔭$^{45v}$אA,B [4%] NU † **15:25** εκλεξαμενοις **f**$^{35}$ 𝔭$^{45v}$A,B [35%] CP,NU ¦ εκλεξαμενους אC,D [65%] HF,RP,OC,TR ‡ **15:25** παυλω *rell* ¦ παυλου [5%] CP § **15:28** αγιω πνευματι **f**$^{35}$ C,D [95%] HF,RP,OC,TR,CP ¦ 2 τω 1 אA,B [5%] NU * **15:28** των επαναγκες τουτων **f**$^{35}$ [63%] HF,RP,OC,TR,CP ¦ 312 B,C [30%] NU ¦ 12 (A) [5%] ¦ 32 (א)D [2%] † **15:29** πνικτου **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ πνικτων אA,B,C [3%] NU ¦ — D ‡ **15:29** πορνειας *rell* ¦ 1 και οσα μη θελετε εαυτοις γινεσθαι ετεροις μη ποιειν (ποιειτε CP) D [5%] (CP)

πράξετε.§ Ἔρρωσθε.»

*Good results*

30 Οἱ μὲν οὖν ἀπολυθέντες ἦλθον* εἰς
Ἀντιόχειαν, καὶ συναγαγόντες τὸ πλῆθος
ἐπέδωκαν† τὴν ἐπιστολήν. 31 Ἀναγνόντες‡
δὲ ἐχάρησαν ἐπὶ τῇ παρακλήσει. 32 Ἰούδας
τε§ καὶ Σίλας, καὶ αὐτοὶ προφῆται ὄντες, διὰ
λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφοὺς
καὶ ἐπεστήριξαν. 33 Ποιήσαντες δὲ χρόνον,
ἀπελύθησαν μετ᾽ εἰρήνης ἀπὸ τῶν ἀδελφῶν
πρὸς τοὺς ἀποστόλους.*,† 35 Παῦλος δὲ
καὶ Βαρνάβας διέτριβον ἐν Ἀντιοχείᾳ,

---

§ **15:29** πραξετε *rell* ¦ πραξατε (D) [8%] CP ¦ four other variants C [2%] * **15:30** ηλθον **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ κατηλθον ℵA,B,C(D) [6%] NU ¦ απηλθον [4%] † **15:30** επεδωκαν *rell* ¦ εδωκαν [25%] ¦ one other variant ‡ **15:31** αναγνοντες *rell* ¦ αναγνωντες [15%] § **15:32** τε *rell* ¦ δε D [5%] [some TRs] * **15:33** αποστολους **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ αποστειλαντας αυτους A,B,C,D [5%] NU ¦ αποστειλαντας εαυτους ℵ † **15:33** 1) (omit verse 34) **f**[35] ℵA,B (70.8%) HF,RP,NU 2) εδοξεν δε τω σιλα επιμειναι αυτου (20.3%) OC,TR (OC is in small print) 3) εδοξεν δε τω σιλα επιμειναι αυτοθι (7.5%) CP 4) εδοξεν δε τω σιλα επιμειναι αυτους C(D) (1%) (two other readings) (0.4%) (RP,HF,NU agree that variant 1) is correct, and indeed verse 33 seems to require that Silas returned to Jerusalem; "they were sent back … to the apostles", and "they" refers to Judas and Silas. The 'problem' is that in verse 40 Paul chooses Silas to accompany him, so he had to be in Antioch, not Jerusalem. Accordingly the longer reading was created to solve the 'problem'. The "some days" of verse 36 could well have been a month or two. From Antioch to Jerusalem would be a trip of some 400 miles. Silas had time to go to Jerusalem and get back to Antioch.)

διδάσκοντες καὶ εὐαγγελιζόμενοι, μετὰ καὶ
ἑτέρων πολλῶν, τὸν λόγον τοῦ Κυρίου.

### *Missionary journey II—Paul and Silas*

### *Paul and Barnabas separate*

36 Μετὰ δέ τινας ἡμέρας εἶπεν Παῦλος
πρὸς Βαρνάβαν,‡ «Ἐπιστρέψαντες δὴ
ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς ἡμῶν§ κατὰ
πᾶσαν πόλιν* ἐν αἷς κατηγγείλαμεν τὸν λόγον
τοῦ Κυρίου, πῶς ἔχουσιν.» 37 Βαρνάβας δὲ
ἐβουλεύσατο† συμπαραλαβεῖν καὶ‡ Ἰωάννην
(τὸν καλούμενον§ Μᾶρκον). 38 Παῦλος
δὲ ἠξίου, τὸν ἀποστάντα ἀπ᾽ αὐτῶν ἀπὸ
Παμφυλίας καὶ μὴ συνελθόντα αὐτοῖς εἰς τὸ
ἔργον μὴ συμπαραλαβεῖν* τοῦτον. 39 Ἐγένετο
οὖν† παροξυσμὸς ὥστε χωρισθῆναι‡
αὐτοὺς ἀπ᾽ ἀλλήλων. Τόν τε§ Βαρνάβαν
παραλαβόντα τὸν Μᾶρκον ἐκπλεῦσαι εἰς

---

‡ **15:36** παυλος προς βαρναβαν **f**$^{35}$ (D) [96%] HF,RP,OC,TR,CP ¦ 231 אA,B,C [2%] NU ¦ 23 ο 1 [2%] § **15:36** ημων **f**$^{35}$ [90%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [10%] NU * **15:36** πασαν πολιν **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ 21 אA,B,C [3%] NU † **15:37** εβουλευσατο **f**$^{35}$ [92%] HF,RP,OC,TR,CP ¦ εβουλετο אA,B,C [5%] NU ¦ εβουλευετο D ¦ two other variants [2%] ‡ **15:37** και **f**$^{35}$ A,C [39%] ¦ 1 τον אB [3%] NU ¦ τον [50%] HF,RP,OC,TR,CP ¦ — D [8%] § **15:37** καλουμενον *rell* ¦ επικαλουμενον C,D [20%] OC * **15:38** συμπαραλαβειν **f**$^{35}$ [92%] HF,RP,OC,TR,CP ¦ συμπαραλαμβανειν 𝔓$^{45v}$(אA,B,C) [8%] NU ¦ D is wild † **15:39** ουν **f**$^{35}$ C [90%] HF,RP,OC,TR,CP ¦ δε 𝔓$^{45}$אA,B,D [10%] NU ‡ **15:39** χωρισθηναι **f**$^{35}$ [20%] ¦ αποχωρισθηναι אA,B,C,D [75%] HF,RP,OC,TR,CP,NU ¦ four other variants [5%] § **15:39** τε *rell* ¦ δε [20%] ¦ τοτε D

Κύπρον· 40 Παῦλος δὲ ἐπιλεξάμενος Σίλαν
ἐξῆλθεν, παραδοθεὶς τῇ χάριτι τοῦ Θεοῦ* ὑπὸ
τῶν ἀδελφῶν. 41 Διήρχετο δὲ τὴν Συρίαν καὶ
Κιλικίαν,† ἐπιστηρίζων τὰς ἐκκλησίας.

# 16

## *Paul finds Timothy*

1 Κατήντησεν δὲ* εἰς Δέρβην καὶ† Λύστραν.
Καὶ ἰδού, μαθητής τις ἦν ἐκεῖ‡ ὀνόματι
Τιμόθεος, υἱὸς γυναικός τινος§ Ἰουδαίας
πιστῆς, πατρὸς δὲ Ἕλληνος· 2 ὃς ἐμαρτυρεῖτο
ὑπὸ τῶν ἐν Λύστροις καὶ Ἰκονίῳ ἀδελφῶν.
3 Τοῦτον ἠθέλησεν ὁ Παῦλος σὺν αὐτῷ
ἐξελθεῖν, καὶ λαβὼν περιέτεμεν αὐτὸν
διὰ τοὺς Ἰουδαίους τοὺς ὄντας ἐν τοῖς
τόποις ἐκείνοις, ᾔδεσαν* γὰρ ἅπαντες τὸν
πατέρα αὐτοῦ ὅτι Ἕλλην† ὑπῆρχεν. 4 Ὡς

---

* **15:40** θεου **f35** 𝔓45C [97%] HF,RP,OC,TR,CP ¦ κυριου אA,B(D) [3%] NU † **15:41** κιλικιαν **f35** אA,C [98%] HF,RP,OC,TR,CP ¦ την 1 B,D [2%] [NU] ¦ της κιλικιας 𝔓45 * **16:1** δε **f35** אC [95%] HF,RP,OC,TR,CP ¦ 1 και 𝔓45A,B [5%] [NU] ¦ — D † **16:1** και **f35** C,D [96%] HF,RP,OC,TR,CP ¦ 1 εις אA,B [4%] NU ‡ **16:1** εκει *rell* ¦ — CP § **16:1** τινος **f35** [90%] HF,RP,OC,TR,CP ¦ — אA,B,C,D [10%] NU (OC is in small print) * **16:3** ηδεσαν **f35** [22%] ¦ ηδεισαν אA,B,C,D [65%] HF,RP,OC,TR,CP,NU ¦ ηδησαν [10%] ¦ two other variants [3%] (Imperfect or Pluperfect? The Imperfect fits the context better.) † **16:3** τον πατερα αυτου οτι ελλην **f35** 𝔓45vD [95%] HF,RP,OC,TR,CP ¦ 45 ο πατηρ 3 אA,B,C [5%] NU

δὲ διεπορεύοντο‡ τὰς πόλεις παρεδίδουν§
αὐτοῖς φυλάσσειν τὰ δόγματα—τὰ κεκριμένα
ὑπὸ τῶν ἀποστόλων καὶ τῶν* πρεσβυτέρων
τῶν ἐν Ἱερουσαλήμ.† 5 Αἱ μὲν οὖν ἐκκλησίαι
ἐστερεοῦντο τῇ πίστει, καὶ ἐπερίσσευον τῷ
ἀριθμῷ καθ᾽ ἡμέραν.

### *The ‘Macedonian call’*

6 Διελθόντες‡ δὲ τὴν Φρυγίαν καὶ τὴν§
Γαλατικὴν χώραν, κωλυθέντες ὑπὸ τοῦ Ἁγίου
Πνεύματος λαλῆσαι τὸν λόγον ἐν τῇ Ἀσίᾳ,
7 ἐλθόντες* κατὰ τὴν Μυσίαν ἐπείραζον κατὰ†
τὴν Βιθυνίαν πορεύεσθαι,‡ καὶ οὐκ εἴασεν
αὐτοὺς τὸ Πνεῦμα.§ 8 Παρελθόντες δὲ τὴν
Μυσίαν κατέβησαν εἰς Τρῳάδα.
9 Καὶ ὅραμα διὰ τῆς* νυκτὸς ὤφθη

‡ **16:4** διεπορευοντο *rell* ¦ επορευοντο [10%] CP ¦ διερχομενοι D § **16:4** παρεδιδουν **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ παρεδιδοσαν 𝔭[45v]אA,B,D [4%] NU ¦ παρεδιδουσαν C ¦ παρεδιδωσαν [1%] * **16:4** των **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ — אA,B,C,D [10%] NU † **16:4** ιερουσαλημ **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ ιεροσολυμοις אA,B,C [4%] NU ‡ **16:6** διελθοντες **f**[35] [80%] HF,RP,OC,TR,CP ¦ διηλθον אA,B,C,D [20%] NU § **16:6** την **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ — אA,B,C,D [5%] NU * **16:7** ελθοντες **f**[35] [80%] HF,RP,OC,TR,CP ¦ 1 δε אA,B,C,D [20%] NU † **16:7** κατα **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ εις אA,B,C,D [10%] NU ‡ **16:7** πορευεσθαι **f**[35] C,D [97%] HF,RP,OC,TR,CP ¦ πορευθηναι אA,B [3%] NU § **16:7** πνευμα **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ 1 ιησου אA,B,D [6%] NU ¦ 1 κυριου C * **16:9** της **f**[35] אC [98%] HF,RP,OC,TR,CP[NU] ¦ — A,B,D [2%]

τῷ Παύλῳ·† ἀνήρ τις ἦν Μακεδὼν‡
ἑστώς,§ παρακαλῶν αὐτὸν καὶ λέγων,
«Διαβὰς εἰς τὴν* Μακεδονίαν,† βοήθησον
ἡμῖν.» 10 Ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως
ἐζητήσαμεν ἐξελθεῖν εἰς τὴν‡ Μακεδονίαν,
συμβιβάζοντες ὅτι προσκέκληται ἡμᾶς ὁ
Κύριος§ εὐαγγελίσασθαι αὐτούς.

### *Philippi*

11 Ἀναχθέντες οὖν* ἀπὸ τῆς† Τρῳάδος,
εὐθυδρομήσαμεν εἰς τὴν‡ Σαμοθρᾴκην, τῇ τε§
ἐπιούσῃ εἰς Νεάπολιν·* 12 ἐκεῖθέν τε† εἰς
Φιλίππους, ἥτις ἐστὶν πρώτη τῆς‡ μερίδος τῆς§

---

† **16:9** ωφθη τω παυλω **f**$^{35}$ A,C,D [94%] HF,RP,OC,TR,CP ¦ 231 ℵB [4%] NU ¦ εφανη 23 [2%] ‡ **16:9** τις ην μακεδων **f**$^{35}$ [89%] HF,RP,OC,TR,CP ¦ 312 (ℵA)B(C) [4%] NU ¦ 13 [5%] ¦ 31 D [1%] ¦ two other variants [1%] § **16:9** εστως **f**$^{35}$ (D) [90%] HF,RP,OC,TR,CP ¦ 1 και ℵA,B,C [10%] NU * **16:9** την **f**$^{35}$ [20%] ¦ — ℵA,B,C,D [80%] HF,RP,OC,TR,CP,NU † **16:9** μακεδονιαν *rell* ¦ μακεδωνιαν [6%] CP ¦ μακαιδονιαν A [1%] (CP has the same vowel shift in verses 10 and 12.) ‡ **16:10** την **f**$^{35}$ [75%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C [25%] NU ¦ D is wild § **16:10** κυριος **f**$^{35}$ D [95%] HF,RP,OC,TR,CP ¦ θεος ℵA,B,C [5%] NU * **16:11** ουν **f**$^{35}$ B,C [95%] HF,RP,OC,TR,CP ¦ δε ℵA [4%] NU ¦ — D [1%] † **16:11** της **f**$^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C,D [7%] NU ‡ **16:11** την **f**$^{35}$ [20%] ¦ — ℵA,B,C,D [80%] HF,RP,OC,TR,CP,NU § **16:11** τε **f**$^{35}$ [90%] HF,RP,TR,CP ¦ δε ℵA,C [10%] OC,NU ¦ δ B ¦ και D * **16:11** νεαπολιν **f**$^{35}$ C,D [97%] HF,RP,OC,TR,CP ¦ νεαν πολιν ℵA,B [3%] NU † **16:12** εκειθεν τε **f**$^{35}$ [90%] HF,RP,OC,TR,CP ¦ κακειθεν ℵA,B(C)D [5%] NU ¦ 1 δε [5%] ‡ **16:12** πρωτη της **f**$^{35}$ ℵA,C [84%] HF,RP,OC,TR,CP ¦ 1 B [16%] ¦ κεφαλη D ¦ πρωτης [none!] [NU] (NU has a conjecture) § **16:12** μεριδος της *rell* ¦ 1 ℵA,C [10%] ¦ — D [10%] (homoioteleuton)

Μακεδονίας πόλις, κολωνεία.* Ἦμεν δὲ ἐν
αὐτῇ† τῇ πόλει διατρίβοντες ἡμέρας τινάς.
13 Τῇ τε ἡμέρᾳ τῶν σαββάτων ἐξήλθομεν ἔξω
τῆς πόλεως‡ παρὰ ποταμόν, οὗ ἐνομίζετο§
προσευχὴ* εἶναι, καὶ καθίσαντες† ἐλαλοῦμεν
ταῖς συνελθούσαις γυναιξίν. 14 Καί τις
γυνὴ ὀνόματι Λυδία, πορφυρόπωλις‡ πόλεως
Θυατείρων,§ σεβομένη τὸν Θεόν, ἤκουεν,* ἧς
ὁ Κύριος διήνοιξεν τὴν καρδίαν προσέχειν
τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου. 15 Ὡς
δὲ ἐβαπτίσθη αὐτῇ,† καὶ ὁ οἶκος αὐτῆς,
παρεκάλεσεν λέγουσα, «Εἰ κεκρίκατέ με
πιστὴν τῷ Κυρίῳ εἶναι,‡ εἰσελθόντες εἰς τὸν
οἶκόν μου, μείνατε.»§ Καὶ παρεβιάσατο ἡμᾶς.

*Prison*

---

* **16:12** κολωνεια **f**$^{35}$ [82%] HF,RP,CP ¦ κολωνια אB,C,D [12%] OC,TR,NU ¦ κωλωνεια [5%] ¦ κωλωνια A ¦ three other variants [1%] † **16:12** αυτη **f**$^{35}$ [93%] HF,RP,OC,CP ¦ ταυτη אA,B,C,D [6%] TR,NU ¦ one other variant ‡ **16:13** πολεως **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ πυλης אA,B,C,D [5%] NU § **16:13** ενομιζετο **f**$^{35}$ A [96%] HF,RP,OC,TR,CP ¦ ενομιζομεν B [2%] NU ¦ ενομιζαμεν C ¦ ενομιζεν א [1%] ¦ εδοκει D * **16:13** προσευχη **f**$^{35}$ A,B,D [84%] HF,RP,OC,TR,CP ¦ προσευχην אC [2%] NU ¦ ευχη [14%] † **16:13** καθισαντες *rell* ¦ καθησαντες [10%] ¦ καθεισαντες A ‡ **16:14** πορφυροπωλις *rell* ¦ πορφυροπολις [30%] ¦ πορφυροπωλεις A ¦ πορφυροπολεις [3%] ¦ one other variant § **16:14** θυατειρων *rell* ¦ θυατηρων [25%] ¦ three other variants [1%] * **16:14** ηκουεν *rell* ¦ ηκουσεν D [30%] † **16:15** αυτη **f**$^{35}$ [20%] ¦ — אA,B,C,D [80%] HF,RP,OC,TR,CP,NU ‡ **16:15** τω κυριω ειναι *rell* ¦ 312 [5%] CP ¦ 3 [5%] § **16:15** μεινατε **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ μενετε 𝔓$^{45}$אA,B,D [3%] NU ¦ μινατε C ¦ μενεται [1%]

16 Ἐγένετο δέ, πορευομένων ἡμῶν εἰς*
προσευχήν, παιδίσκην τινὰ ἔχουσαν πνεῦμα
Πύθωνος† ἀπαντῆσαι‡ ἡμῖν, ἥτις ἐργασίαν
πολλὴν παρεῖχεν τοῖς κυρίοις αὐτῆς
μαντευομένη. 17 Αὕτη κατακολουθήσασα§
τῷ Παύλῳ καὶ τῷ Σίλᾳ* ἔκραζεν† λέγουσα,
«Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ
Ὑψίστου εἰσίν, οἵτινες καταγγέλλουσιν‡
ἡμῖν§ ὁδὸν σωτηρίας.» 18 Τοῦτο δὲ ἐποίει
ἐπὶ πολλὰς ἡμέρας. Διαπονηθεὶς δὲ ὁ *
Παῦλος, καὶ ἐπιστρέψας τῷ πνεύματι εἶπεν,
«Παραγγέλλω† σοι ἐν τῷ‡ ὀνόματι Ἰησοῦ
Χριστοῦ ἐξελθεῖν ἀπ᾽ αὐτῆς.» Καὶ ἐξῆλθεν
αὐτῇ τῇ ὥρᾳ.
19 Ἰδόντες δὲ οἱ κύριοι αὐτῆς ὅτι ἐξῆλθεν
ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῶν, ἐπιλαβόμενοι
τὸν Παῦλον καὶ τὸν§ Σίλαν εἵλκυσαν εἰς
τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας, 20 καὶ

---

* **16:16** εις **f35** D [95%] HF,RP,OC,TR,CP ¦ 1 την 𝔓45ℵA,B,C [5%] NU † **16:16** πυθωνος **f35** 𝔓45 [97%] HF,RP,OC,TR,CP ¦ πυθωνα ℵA,B,C,D [3%] NU ‡ **16:16** απαντησαι **f35** A,D [96%] HF,RP,OC,TR,CP ¦ υπαντησαι 𝔓45ℵB,C [4%] NU § **16:17** κατακολουθησασα **f35** A,C [98%] HF,RP,OC,TR,CP ¦ κατακολουθουσα ℵB,D [2%] NU ¦ κατακολουθουσαν 𝔓45 * **16:17** τω σιλα **f35** [40%] OC ¦ ημιν 𝔓45ℵA,B,C(D) [60%] HF,RP,TR,CP,NU (Who was put in prison?) † **16:17** εκραζεν *rell* ¦ εκραξε [17%] CP ¦ εκραζον D ‡ **16:17** καταγγελλουσιν *rell* ¦ καταγγελουσιν [30%] ¦ ευαγγελιζοντες D § **16:17** ημιν **f35** A,C [80%] HF,RP,OC,TR,CP ¦ υμιν ℵB(D) [20%] NU * **16:18** ο **f35** C,D [98%] HF,RP,OC,TR,CP ¦ — 𝔓45ℵA,B [2%] NU † **16:18** παραγγελλω *rell* ¦ παραγγελω C [18%] ‡ **16:18** τω **f35** D [93%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C [7%] NU § **16:19** τον *rell* ¦ — C,D [5%] CP

προσαγαγόντες αὐτοὺς τοῖς στρατηγοῖς
εἶπον,* «Οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν
ἡμῶν τὴν πόλιν, Ἰουδαῖοι ὑπάρχοντες, 21 καὶ
καταγγέλλουσιν† ἔθη ἃ οὐκ ἔξεστιν ἡμῖν
παραδέχεσθαι οὐδὲ ποιεῖν, Ῥωμαίοις οὖσιν.»
22 Καὶ συνεπέστη ὁ ὄχλος κατ᾽ αὐτῶν, καὶ
οἱ στρατηγοὶ περιρρήξαντες‡ αὐτῶν τὰ
ἱμάτια§ ἐκέλευον ῥαβδίζειν. 23 Πολλάς τε
ἐπιθέντες αὐτοῖς πληγάς, ἔβαλον εἰς φυλακήν,
παραγγείλαντες τῷ δεσμοφύλακι ἀσφαλῶς
τηρεῖν αὐτούς· 24 ὅς, παραγγελίαν τοιαύτην
εἰληφώς,* ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν†
φυλακὴν καὶ τοὺς πόδας αὐτῶν ἠσφαλίσατο‡
εἰς τὸ ξύλον.

### *The Jailor Converts*

25 Κατὰ δὲ τὸ μεσονύκτιον Παῦλος καὶ
Σίλας προσευχόμενοι ὕμνουν τὸν Θεόν·
ἐπηκροῶντο§ δὲ αὐτῶν οἱ δέσμιοι. 26 Ἄφνω
δὲ σεισμὸς ἐγένετο μέγας, ὥστε σαλευθῆναι
τὰ θεμέλια τοῦ δεσμωτηρίου·* ἀνεῴχθησάν†

---

* **16:20** ειπον *rell* ¦ ειπαν אA,B [2%] NU † **16:21** καταγγελλουσιν *rell* ¦ καταγγελουσιν [25%] ¦ one other variant ‡ **16:22** περιρρηξαντες **f**$^{35}$ [82%] HF,RP,OC,TR,CP ¦ περιρηξαντες אA,B,C,D [18%] NU § **16:22** αυτων τα ιματια *rell* ¦ 231 [1%] CP * **16:24** ειληφως **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ λαβων אA,B,C,D [5%] NU † **16:24** εσωτεραν *rell* ¦ εσοτεραν [12%] CP ‡ **16:24** αυτων ησφαλισατο **f**$^{35}$ (D) [97%] HF,RP,OC,TR,CP ¦ 21 אA,B,C [3%] NU § **16:25** επηκροωντο *rell* ¦ επικροωντο [40%] * **16:26** δεσμωτηριου *rell* ¦ δεσμοτηριου [14%] † **16:26** ανεωχθησαν **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ ηνεωχθησαν B,C,D [3%] NU ¦ ηνοιχθησαν אA [2%]

δὲ‡ παραχρῆμα αἱ θύραι πᾶσαι καὶ πάντων
τὰ δεσμὰ ἀνέθη. 27 Ἔξυπνος δὲ γενόμενος
ὁ δεσμοφύλαξ καὶ ἰδὼν ἀνεῳγμένας
τὰς θύρας τῆς φυλακῆς, σπασάμενος§
μάχαιραν, ἔμελλεν* ἑαυτὸν ἀναιρεῖν, νομίζων
ἐκπεφευγέναι τοὺς δεσμίους.
28 Ἐφώνησεν δὲ φωνῇ μεγάλῃ ὁ Παῦλος†
λέγων, «Μηδὲν πράξῃς‡ σεαυτῷ κακόν,
ἅπαντες γάρ ἐσμεν ἐνθάδε.» 29 Αἰτήσας δὲ
φῶτα εἰσεπήδησεν§ καὶ ἔντρομος γενόμενος
προσέπεσεν τῷ Παύλῳ καὶ τῷ* Σίλᾳ. 30 Καὶ
προαγαγὼν αὐτοὺς ἔξω ἔφη, «Κύριοι, τί με δεῖ
ποιεῖν ἵνα σωθῶ;» 31 Οἱ δὲ εἶπον,† «Πίστευσον
ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν‡ καὶ σωθήσῃ,
σὺ καὶ ὁ οἶκός σου.» 32 Καὶ ἐλάλησαν αὐτῷ
τὸν λόγον τοῦ Κυρίου καὶ πᾶσιν§ τοῖς ἐν τῇ
οἰκίᾳ αὐτοῦ. 33 Καὶ παραλαβὼν αὐτοὺς ἐν
ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτὸς ἔλουσεν ἀπὸ τῶν
πληγῶν, καὶ ἐβαπτίσθη αὐτὸς καὶ οἱ αὐτοῦ

‡ **16:26** δε **f**$^{35}$ ℵA,B,D [30%] NU ¦ τε C [70%] HF,RP,OC,TR,CP § **16:27** σπασαμενος **f**$^{35}$ ℵA [98%] HF,RP,OC,TR,CP ¦ 1 την B,C,D [2%] [NU] * **16:27** εμελλεν **f**$^{35}$ D [85%] HF,RP,OC,TR,CP ¦ ημελλεν ℵA,B,C [15%] NU † **16:28** φωνη μεγαλη ο παυλος **f**$^{35}$ D (91.3%) HF,RP,OC,TR,CP ¦ 2134 A (0.8%) [NU] ¦ 3412 (3.5%) ¦ 214 [1%] ¦ 124 ℵC (3.1%) ¦ 421 B ¦ three other variants (1%) ‡ **16:28** πραξης *rell* ¦ πραξεις [13%] ¦ one other variant § **16:29** εισεπηδησεν *rell* ¦ εισεπιδησεν [5%] CP * **16:29** τω **f**$^{35}$ ℵA [98%] HF,RP,OC,TR,CP[NU] ¦ — B,C,D [2%] † **16:31** ειπον *rell* ¦ ειπαν ℵA,B,D [3%] NU ‡ **16:31** χριστον **f**$^{35}$ C,D [97%] HF,RP,OC,TR,CP ¦ — ℵA,B [3%] NU § **16:32** και πασιν **f**$^{35}$ [92%] HF,RP,OC,TR,CP ¦ συν 2 A,C,D [6%] NU ¦ συμπασιν 𝔓$^{45}$ℵ [2%] ¦ συ πασιν B

πάντες* παραχρῆμα. 
34 Ἀναγαγών τε αὐτοὺς
εἰς τὸν οἶκον αὐτοῦ† παρέθηκεν τράπεζαν, καὶ
ἠγαλλιᾶτο,‡ πανοικὶ§ πεπιστευκὼς τῷ Θεῷ.

### *Magistrates Rebuked*

35 Ἡμέρας δὲ γενομένης ἀπέστειλαν
οἱ στρατηγοὶ τοὺς ῥαβδούχους λέγοντες,
«Ἀπόλυσον τοὺς ἀνθρώπους ἐκείνους.»
36 Ἀπήγγειλεν δὲ ὁ δεσμοφύλαξ τοὺς
λόγους τούτους* πρὸς τὸν Παῦλον, ὅτι
«Ἀπεστάλκασιν† οἱ στρατηγοὶ ἵνα ἀπολυθῆτε·
νῦν οὖν ἐξελθόντες πορεύεσθε ἐν εἰρήνῃ.»
37 Ὁ δὲ Παῦλος ἔφη πρὸς αὐτούς· «Δήραντες‡
ἡμᾶς δημοσίᾳ, ἀκατακρίτους, ἀνθρώπους
Ῥωμαίους ὑπάρχοντας, ἔβαλον§ εἰς φυλακήν,
καὶ νῦν λάθρᾳ ἡμᾶς ἐκβάλλουσιν; Οὐ γάρ·
ἀλλὰ* ἐλθόντες αὐτοὶ† ἐξαγαγέτωσαν.»
38 Ἀνήγγειλαν‡ δὲ τοῖς στρατηγοῖς οἱ

---

* **16:33** αυτου παντες **f**[35] (A)C,D (89.6%) HF,RP,OC,TR,NU ¦ 1 απαντες אB (4.1%) ¦ 1 ολος 𝔓[45] ¦ 1 (3.9%) CP ¦ αυτω 2 (1.9%) ¦ one other variant † **16:34** αυτου **f**[35] אA(D) [80%] HF,RP,OC,TR,CP ¦ — 𝔓[45]B,C [20%] NU ‡ **16:34** ηγαλλιατο **f**[35] C,D [70%] HF,RP,OC ¦ ηγαλλιασατο אA,B [30%] TR,CP,NU § **16:34** πανοικι **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ πανοικει 𝔓[45]אA,B,C [4%] NU ¦ D is wild * **16:36** τουτους **f**[35] אA [99%] HF,RP,OC,TR,CP[NU] ¦ — B,C,D [1%] † **16:36** απεσταλκασιν **f**[35] D [97%] HF,RP,OC,TR,CP ¦ απεσταλκαν 𝔓[45]אA,B [2%] NU ¦ απεστειλαν C [1%] ‡ **16:37** δηραντες **f**[35] [32%] CP ¦ δειραντες A,B,D [67%] HF,RP,OC,TR,NU ¦ διραντες א [1%] § **16:37** εβαλον *rell* ¦ εβαλαν B,D,NU * **16:37** αλλα *rell* ¦ αλλ [23%] † **16:37** αυτοι **f**[35] [75%] HF,RP ¦ 1 ημας 𝔓[45]אA,B,D [25%] OC,TR,CP,NU ‡ **16:38** ανηγγειλαν **f**[35] [65%] HF,RP,OC,TR,CP ¦ απηγγειλαν 𝔓[45](א)A,B,D [35%] NU

ῥαβδοῦχοι τὰ ῥήματα ταῦτα· ἐφοβήθησαν δὲ§
ἀκούσαντες ὅτι Ῥωμαῖοί εἰσιν· 39 καὶ ἐλθόντες
παρεκάλεσαν αὐτούς, καὶ ἐξαγαγόντες
ἠρώτων ἐξελθεῖν* τῆς† πόλεως. 40 Ἐξελθόντες
δὲ ἀπὸ‡ τῆς φυλακῆς εἰσῆλθον πρὸς§
τὴν Λυδίαν, καὶ ἰδόντες τοὺς ἀδελφοὺς
παρεκάλεσαν αὐτοὺς* καὶ ἐξῆλθον.

# 17

## *Thessalonica*

1 Διοδεύσαντες δὲ τὴν Ἀμφίπολιν καὶ*
Ἀπολλωνίαν, ἦλθον εἰς Θεσσαλονίκην, ὅπου
ἦν ἡ † συναγωγὴ τῶν Ἰουδαίων. 2 Κατὰ
δὲ τὸ εἰωθὸς τῷ Παύλῳ, εἰσῆλθεν πρὸς
αὐτοὺς καὶ ἐπὶ σάββατα τρία διελέγετο‡
αὐτοῖς ἀπὸ τῶν Γραφῶν, 3 διανοίγων καὶ
παρατιθέμενος ὅτι τὸν Χριστὸν ἔδει παθεῖν
καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι «οὗτός
ἐστιν Ἰησοῦς ὁ Χριστὸς§ ὃν ἐγὼ καταγγέλλω

---

§ **16:38** εφοβηθησαν δε **f**[35] 𝔭[45]אA,B [20%] NU ¦ και 1 [80%] HF,RP,OC,TR,CP ¦ 21 (D) * **16:39** εξελθειν **f**[35] 𝔭[45v](D) [96%] HF,RP,OC,TR,CP ¦ απελθειν (א)A,B [4%] NU † **16:39** της **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ απο 1 אA,B [5%] NU ¦ εκ 1 D [2%] ‡ **16:40** απο **f**[35] אB [20%] NU ¦ εκ A,D [80%] HF,RP,OC,TR,CP § **16:40** προς *rell* ¦ εις [5%] TR * **16:40** τους αδελφους παρεκαλεσαν αυτους **f**[35] (D) [98%] HF,RP,OC,TR,CP ¦ 312 אA,B [2%] NU * **17:1** και **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ 1 την אA,B [4%] NU † **17:1** η **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ — אA,B,D [4%] NU ‡ **17:2** διελεγετο **f**[35] [92%] OC,TR,CP ¦ διελεξατο אA,B [5%] HF,RP,NU ¦ διελεχθη D [3%] § **17:3** ιησους ο χριστος **f**[35] [20%] ¦ 231 [75%] HF,RP,OC,TR,CP ¦ 2321 B[NU] ¦ 13 א [3%] ¦ 31 A,D [2%]

ὑμῖν.» 4 Καί τινες ἐξ αὐτῶν ἐπείσθησαν καὶ
προσεκληρώθησαν τῷ Παύλῳ καὶ τῷ Σίλᾳ,
τῶν τε σεβομένων Ἑλλήνων πλῆθος πολύ,*
γυναικῶν τε τῶν πρώτων οὐκ ὀλίγαι.
5 Προσλαβόμενοι δὲ οἱ Ἰουδαῖοι οἱ
ἀπειθοῦντες† τῶν ἀγοραίων ἄνδρας τινὰς‡
πονηρούς, καὶ ὀχλοποιήσαντες ἐθορύβουν τὴν
πόλιν· ἐπιστάντες τε§ τῇ οἰκίᾳ Ἰάσονος,*
ἐζήτουν αὐτοὺς ἀγαγεῖν† εἰς τὸν δῆμον.
6 Μὴ εὑρόντες δὲ αὐτούς, ἔσυρον‡ τὸν§
Ἰάσονα* καί τινας ἀδελφοὺς ἐπὶ τοὺς
πολιτάρχας, βοῶντες ὅτι «Οἱ τὴν οἰκουμένην
ἀναστατώσαντες, οὗτοι καὶ ἐνθάδε πάρεισιν,
7 οὓς ὑποδέδεκται Ἰάσων· καὶ οὗτοι
πάντες ἀπέναντι τῶν δογμάτων Καίσαρος
πράσσουσιν,† βασιλέα ἕτερον λέγοντες‡

* **17:4** πληθος πολυ $\mathbf{f}^{35}$ ℵA,B,D [20%] NU ¦ 21 [80%] HF,RP,OC,TR,CP † **17:5** προσλαβομενοι δε οι ιουδαιοι οι απειθουντες $\mathbf{f}^{35}$ [75%] HF,RP,CP ¦ ζηλωσαντες 23456 και 1 [12%] ¦ ζηλωσαντες 234 και 1 ℵA,B [5%] NU ¦ ζηλωσαντες 2564 και 1 [3%] TR ¦ ζηλωσαντες 234 και 156 [3%] ¦ 12364 [2%] ¦ 3264 συστρεψαντες D ¦ 12364 OC ‡ **17:5** ανδρας τινας $\mathbf{f}^{35}$ A,B [20%] NU ¦ 21 ℵ(D) [75%] HF,RP,OC,TR,CP ¦ 1 [5%] § **17:5** επισταντες τε $\mathbf{f}^{35}$ [90%] HF,RP,OC,TR,CP ¦ και 1 ℵA,B(D) [5%] NU ¦ 1 [5%] * **17:5** ιασονος *rell* ¦ ιασωνος A,D [30%] † **17:5** αγαγειν $\mathbf{f}^{35}$ [89%] HF,RP,OC,TR,CP ¦ προαγαγειν ℵA,B [6%] NU ¦ αναγαγειν [3%] ¦ προσαγαγειν [2%] ¦ εξαγαγειν D ‡ **17:6** εσυρον *rell* ¦ εσυραν D [13%] ¦ ευρον ℵ ¦ one other variant § **17:6** τον $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,D [5%] NU * **17:6** ιασονα *rell* ¦ ιασωνα [30%] ¦ ισωναν D † **17:7** πρασσουσιν $\mathbf{f}^{35}$ ℵA,B,D [91%] HF,RP,OC,NU ¦ πραττουσιν [7%] TR,CP ¦ ταρασσουσιν [2%] ‡ **17:7** ετερον λεγοντες $\mathbf{f}^{35}$ ℵA,B [30%] OC,NU ¦ 21 D [70%] HF,RP,TR,CP

εἶναι§—Ἰησοῦν.» 8 Ἐτάραξαν δὲ τὸν ὄχλον
καὶ τοὺς πολιτάρχας ἀκούοντας ταῦτα. 9 Καὶ
λαβόντες τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσονος* καὶ
τῶν λοιπῶν, ἀπέλυσαν αὐτούς.

*Berea*

10 Οἱ δὲ ἀδελφοὶ εὐθέως, διὰ τῆς νυκτός,†
ἐξέπεμψαν τόν τε‡ Παῦλον καὶ τὸν Σίλαν
εἰς Βέρροιαν·§ οἵτινες παραγενόμενοι εἰς τὴν
συναγωγὴν ἀπῄεσαν τῶν Ἰουδαίων.* 11 Οὗτοι
δὲ ἦσαν εὐγενέστεροι τῶν† ἐν Θεσσαλονίκῃ,‡
οἵτινες ἐδέξαντο τὸν λόγον μετὰ πάσης
προθυμίας,§ καθ᾽ ἡμέραν ἀνακρίνοντες τὰς
Γραφὰς εἰ ἔχοι ταῦτα οὕτως. 12 Πολλοὶ
μὲν οὖν ἐξ αὐτῶν ἐπίστευσαν, καὶ τῶν
Ἑλληνίδων, γυναικῶν τῶν εὐσχημόνων καὶ
ἀνδρῶν, οὐκ ὀλίγοι. 13 Ὡς δὲ ἔγνωσαν οἱ
ἀπὸ τῆς Θεσσαλονίκης Ἰουδαῖοι ὅτι καὶ ἐν
τῇ* Βερροίᾳ† κατηγγέλη‡ ὑπὸ τοῦ Παύλου ὁ

---

§ **17:7** ειναι *rell* ¦ — CP * **17:9** ιασονος *rell* ¦ ιασωνος D [30%] † **17:10** δια της νυκτος **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ 13 𝔭[45]אB,D [4%] NU ¦ — A [1%] ‡ **17:10** τε *rell* ¦ — D [2%] CP ¦ two other variants [2%] § **17:10** βερροιαν **f**[35] [30%] ¦ βεροιαν 𝔭[45]אA,B,D [70%] HF,RP,OC,TR,CP,NU * **17:10** απηεσαν των ιουδαιων **f**[35] [95%] HF,RP,OC,CP ¦ 231 אA,B,D [5%] TR,NU ¦ 23 𝔭[45] † **17:11** των *rell* ¦ 1 αλλων CP ‡ **17:11** θεσσαλονικη *rell* ¦ θεσαλονικη [22%] ¦ θεσσαλονεικη 𝔭[45]B ¦ two other spellings § **17:11** προθυμιας **f**[35] 𝔭[45]אA(D) [25%] NU ¦ 1 το B [75%] HF,RP,OC,TR,CP * **17:13** τη *rell* ¦ — [5%] CP † **17:13** βερροια **f**[35] [30%] ¦ βεροια אA,B(D) [70%] HF,RP,OC,TR,CP,NU ‡ **17:13** κατηγγελη *rell* ¦ κατηγγελλη [15%] ¦ κατηγγελει [12%] ¦ three other variants [2%]

λόγος τοῦ Θεοῦ, ἦλθον κἀκεῖ, σαλεύοντες§
τοὺς ὄχλους. 14 Εὐθέως δέ, τότε τὸν Παῦλον
ἐξαπέστειλαν οἱ ἀδελφοί, πορεύεσθαι ὡς*
ἐπὶ τὴν θάλασσαν, ὑπέμενον† δὲ‡ ὅ τε Σίλας
καὶ ὁ Τιμόθεος ἐκεῖ. 15 Οἱ δὲ καθιστῶντες§
τὸν Παῦλον ἤγαγον αὐτὸν* ἕως Ἀθηνῶν·
καὶ λαβόντες ἐντολὴν πρὸς τὸν Σίλαν καὶ†
Τιμόθεον ἵνα ὡς τάχιστα ἔλθωσιν πρὸς αὐτόν,
ἐξῄεσαν.

*Athens*

16 Ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου αὐτοὺς
τοῦ Παύλου, παρωξύνετο‡ τὸ πνεῦμα αὐτοῦ
ἐν αὐτῷ θεωροῦντι§ κατείδωλον οὖσαν τὴν
πόλιν. 17 Διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ
τοῖς Ἰουδαίοις καὶ τοῖς σεβομένοις, καὶ ἐν
τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς
παρατυγχάνοντας. 18 Τινὲς δὲ καὶ* τῶν

---

§ **17:13** σαλευοντες **f**35 𝔓45 (67.6%) HF,RP,OC,TR,CP ¦ σαλευσοντες [10%] ¦ 1 και ταρασσοντες ℵA,B(D) (22.2%) NU ¦ one other variant * **17:14** ως **f**35 [89%] HF,RP,OC,TR,CP ¦ εως ℵA,B [4%] NU ¦ — D [7%] † **17:14** υπεμενον **f**35 [76%] HF,RP,OC,TR,CP ¦ υπεμενεν [10%] ¦ υπεμειναν 𝔓45(ℵ)B [8%] NU ¦ υπεμεινεν A,D [3%] ¦ επεμειναν [2%] ¦ two other variants [1%] ‡ **17:14** δε **f**35 D [93%] HF,RP,OC,TR,CP ¦ τε 𝔓45ℵA,B [7%] NU § **17:15** καθιστωντες **f**35 [98%] HF,RP,OC,TR,CP ¦ καθιστανοντες A,B [1%] NU ¦ καθισπαντες ℵ ¦ καταστανοντες 𝔓45D * **17:15** αυτον **f**35 [88%] HF,RP,OC,TR,CP ¦ — 𝔓45ℵA,B,D [12%] NU † **17:15** και **f**35 A,D [97%] HF,RP,OC,TR,CP ¦ 1 τον 𝔓45ℵB [3%] NU ‡ **17:16** παρωξυνετο *rell* ¦ παροξυνετο [14%] § **17:16** θεωρουντι **f**35 D [87%] HF,RP,OC,TR,CP ¦ θεωρουντος ℵA,B [5%] NU ¦ θεορουντος [7%] ¦ θεωρουντες [1%] * **17:18** και **f**35 ℵA,B,D [85%] HF,RP,CP,NU ¦ — [15%] OC,TR

Ἐπικουρείων† καὶ τῶν‡ Στωϊκῶν§ φιλοσόφων συνέβαλον* αὐτῷ. Καί τινες ἔλεγον, «Τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος λέγειν;» Οἱ δέ, «Ξένων δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι»—ὅτι τὸν Ἰησοῦν καὶ τὴν ἀνάστασιν εὐηγγελίζετο.†
19 Ἐπιλαβόμενοί τε αὐτοῦ‡ ἐπὶ τὸν Ἄρειον Πάγον ἤγαγον λέγοντες· «Δυνάμεθα γνῶναι τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή;
20 Ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν· βουλόμεθα οὖν γνῶναι τί ἂν θέλοι§ ταῦτα εἶναι.»
21 (Ἀθηναῖοι δὲ πάντες καὶ οἱ ἐπιδημοῦντες ξένοι εἰς οὐδὲν ἕτερον εὐκαίρουν* ἢ λέγειν τι καὶ† ἀκούειν‡ καινότερον.)

### *The Areopagus*

22 Σταθεὶς δὲ ὁ § Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου Πάγου ἔφη· «Ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς

---

† **17:18** επικουρειων *rell* ¦ επικουριων ℵA,B,D [22%] ‡ **17:18** των **f**[35] D [93%] HF,RP,OC,TR,CP ¦ — ℵA,B [7%] NU § **17:18** στωικων **f**[35] B [60%] TR,CP ¦ στοικων ℵ,A,D [40%] HF,RP,OC,NU * **17:18** συνεβαλον **f**[35] [50%] ¦ συνεβαλλον ℵA,B [50%] HF,RP,OC,TR,CP,NU ¦ συνελαβον D † **17:18** ευηγγελιζετο **f**[35] ℵB [75%] HF,RP,CP,NU ¦ 1 αυτοις A [20%] OC ¦ αυτοις 1 [5%] TR ¦ — D ‡ **17:19** αυτου *rell* ¦ αυτον (D) [8%] ¦ του παυλου [5%] ¦ αυτους [3%] § **17:20** τι αν θελοι **f**[35] D [89%] HF,RP,OC,TR,CP ¦ τινα θελει ℵA,B [4%] NU ¦ τινα 2 [2%] ¦ 12 θελει [5%] * **17:21** ευκαιρουν **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ ηυκαιρουν (ℵ)A,B,D [10%] NU † **17:21** και **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ η ℵA,B,D [2%] NU ‡ **17:21** ακουειν **f**[35] D [98%] HF,RP,OC,TR,CP ¦ 1 τι ℵA,B [2%] NU § **17:22** ο **f**[35] D [95%] HF,RP,OC,TR,CP[NU] ¦ — ℵA,B [5%]

θεωρῶ· 23 διερχόμενος γὰρ καὶ ἀναθεωρῶν
τὰ σεβάσματα ὑμῶν, εὗρον καὶ βωμὸν ἐν
ᾧ ἐπεγέγραπτο· ‹Ἀγνώστῳ Θεῷ.› Ὃν*
οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον† ἐγὼ
καταγγέλλω‡ ὑμῖν· 24 Ὁ Θεὸς ὁ ποιήσας
τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος,
οὐρανοῦ καὶ γῆς Κύριος ὑπάρχων,§ οὐκ
ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, 25 οὐδὲ
ὑπὸ χειρῶν ἀνθρώπων* θεραπεύεται,
προσδεόμενός τινος, αὐτὸς διδοὺς† πᾶσιν
ζωὴν καὶ πνοὴν κατὰ‡ πάντα. 26 Ἐποίησέν
τε ἐξ ἑνὸς αἵματος§ πᾶν ἔθνος ἀνθρώπων
κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον* τῆς γῆς,
ὁρίσας προστεταγμένους† καιροὺς καὶ τὰς
ὁροθεσίας τῆς κατοικίας αὐτῶν, 27 ζητεῖν τὸν
Κύριον,‡ εἰ ἄρα γε ψηλαφήσειαν αὐτὸν καὶ
εὕροιεν, καί γε§ οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου

---

* **17:23** ον **f**$^{35}$ (97.5%) HF,RP,OC,TR,CP ¦ ο אA,B,D (2.3%) NU † **17:23** τουτον **f**$^{35}$ (98.3%) HF,RP,OC,TR,CP ¦ τουτο אA,B,D (1.7%) NU ‡ **17:23** καταγγελλω *rell* ¦ καταγγελω [25%] ¦ κατεγγελλω A § **17:24** κυριος υπαρχων **f**$^{35}$ D [95%] HF,RP,OC,TR,CP ¦ 21 אA,B [5%] NU * **17:25** ανθρωπων **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ ανθρωπινων (א)A,B,D [5%] NU † **17:25** αυτους διδους *rell* ¦ δους [18%] ‡ **17:25** κατα **f**$^{35}$ [90%] HF,RP,OC,TR ¦ και τα A,B,D [8%] CP,NU ¦ και א [1%] ¦ — [1%] § **17:26** αιματος **f**$^{35}$ D (95.2%) HF,RP,OC,TR,CP ¦ — אA,B (4.4%) NU ¦ two other variants (0.4%) * **17:26** παν το προσωπον **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ παντος προσωπου אA,B,D [3%] NU † **17:26** προστεταγμενους *rell* ¦ προτεταγμενους D [5%] TR ¦ τεταγμενους [2%] ‡ **17:27** κυριον **f**$^{35}$ [55%] HF,RP,OC,TR,CP ¦ θεον אA,B [45%] NU ¦ θειον D § **17:27** και γε **f**$^{35}$ B [94%] HF,RP,OC,NU ¦ καιτοιγε א [5%] TR,CP ¦ καιτοι A [1%] ¦ και τε D

ἡμῶν ὑπάρχοντα· 28 ἐν αὐτῷ γὰρ ζῶμεν καὶ
κινούμεθα καὶ ἐσμέν. Ὡς καί τινες τῶν καθʼ
ὑμᾶς* ποιητῶν εἰρήκασιν, ‹Τοῦ γὰρ καὶ γένος
ἐσμέν.› 29 Γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ,
οὐκ ὀφείλομεν νομίζειν χρυσῷ ἢ ἀργύρῳ ἢ
λίθῳ—χαράγματι τέχνης καὶ ἐνθυμήσεως
ἀνθρώπου—τὸ θεῖον εἶναι ὅμοιον. 30 Τοὺς
μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ
Θεός, τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώποις
πᾶσιν† πανταχοῦ μετανοεῖν, 31 διότι‡ ἔστησεν
ἡμέραν ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην
ἐν δικαιοσύνῃ ἐν ἀνδρὶ ᾧ ὥρισεν· πίστιν
παρασχὼν§ πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ
νεκρῶν.»

32 Ἀκούσαντες δὲ ἀνάστασιν νεκρῶν, οἱ μὲν
ἐχλεύαζον, οἱ δὲ εἶπον,* «Ἀκουσόμεθά σου
πάλιν περὶ τούτου.» 33 Καὶ† οὕτως ὁ Παῦλος
ἐξῆλθεν ἐκ μέσου αὐτῶν. 34 Τινὲς δὲ ἄνδρες
κολληθέντες αὐτῷ, ἐπίστευσαν, ἐν οἷς καὶ
Διονύσιος ὁ Ἀρεοπαγίτης, καὶ γυνὴ ὀνόματι
Δάμαρις, καὶ ἕτεροι σὺν αὐτοῖς.

## Consolidation of the Gentile Church

* **17:28** υμας *rell* ¦ ημας B [5%] CP † **17:30** πασιν $\mathbf{f}^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ παντας ℵA,B [3%] NU ¦ παντες D ‡ **17:31** διοτι $\mathbf{f}^{35}$ [90%] HF,RP,OC,TR,CP ¦ καθοτι ℵA,B,D [10%] NU § **17:31** παρασχων *rell* ¦ παρασχειν CP ¦ παρεσχειν D ¦ one other variant * **17:32** ειπον *rell* ¦ ειπαν ℵB [2%] NU † **17:33** παλιν περι τουτου και $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ 2341 ℵA,B [4%] NU ¦ 231 D [1%]

# 18

### *Corinth*

1 Μετὰ δὲ* ταῦτα χωρισθεὶς ὁ Παῦλος† ἐκ
τῶν Ἀθηνῶν ἦλθεν εἰς Κόρινθον. 2 Καὶ εὑρών
τινα Ἰουδαῖον ὀνόματι Ἀκύλαν, Ποντικὸν
τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς
Ἰταλίας, καὶ Πρίσκιλλαν γυναῖκα αὐτοῦ
(διὰ τὸ διατεταχέναι‡ Κλαύδιον χωρίζεσθαι
πάντας τοὺς Ἰουδαίους ἐκ§ τῆς Ῥώμης),
προσῆλθεν αὐτοῖς· 3 καὶ διὰ τὸ ὁμότεχνον
εἶναι, ἔμενεν* παρ᾽ αὐτοῖς καὶ εἰργάζετο†
(ἦσαν γὰρ σκηνοποιοὶ τὴν τέχνην).‡
4 Διελέγετο δὲ ἐν τῇ συναγωγῇ κατὰ
πᾶν σάββατον, ἔπειθέν τε Ἰουδαίους καὶ
Ἕλληνας. 5 Ὡς δὲ κατῆλθον ἀπὸ τῆς
Μακεδονίας ὅ τε Σίλας καὶ ὁ Τιμόθεος,
συνείχετο τῷ Πνεύματι§ ὁ Παῦλος,
διαμαρτυρόμενος τοῖς Ἰουδαίοις·* τὸν
Χριστὸν Ἰησοῦν. 6 Ἀντιτασσομένων δὲ αὐτῶν

---

* **18:1** δε **f**[35] (D) [92%] HF,RP,OC,TR,CP ¦ — ℵA,B [8%] NU † **18:1** ο παυλος **f**[35] A (98.3%) HF,RP,OC,TR,CP ¦ — ℵB(D) (1.7%) NU ‡ **18:2** διατεταχεναι **f**[35] A,B [67%] OC,TR,CP,NU ¦ τεταχεναι D [20%] HF,RP ¦ διατεταχθεναι [3%] ¦ προστεταχεναι [10%] ¦ τεχεναι ℵ § **18:2** εκ **f**[35] [90%] HF,RP,TR,CP ¦ απο ℵA,B,D [10%] OC,NU * **18:3** εμενεν *rell* ¦ εμεινεν [55%] OC ¦ εμινεν [1%] † **18:3** ειργαζετο **f**[35] (91.6%) HF,RP,OC,TR,CP ¦ ηργαζετο A,D (7.8%) NU ¦ ηργαζοντο ℵB (alone) ¦ one other variant ‡ **18:3** την τεχνην **f**[35] [83%] HF,RP,TR,CP ¦ τη τεχνη ℵA,B [17%] OC,NU ¦ — D § **18:5** πνευματι **f**[35] (93.9%) HF,RP,OC,TR,CP ¦ λογω ℵA,B,D (6.1%) NU * **18:5** ιουδαιοις **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ 1 ειναι ℵ(A)B,D [6%] NU

καὶ βλασφημούντων, ἐκτιναξάμενος† τὰ
ἱμάτια εἶπεν πρὸς αὐτούς· «Τὸ αἷμα ὑμῶν
ἐπὶ τὰς κεφαλὰς‡ ὑμῶν· καθαρὸς ἐγώ. Ἀπὸ
τοῦ νῦν εἰς τὰ ἔθνη πορεύσομαι.»

### *The house of Justus becomes the base*

7 Καὶ μεταβὰς ἐκεῖθεν ἦλθεν§ εἰς οἰκίαν
τινὸς ὀνόματι* Ἰούστου, σεβομένου τὸν Θεόν,
οὗ ἡ οἰκία ἦν συνομοροῦσα τῇ συναγωγῇ.
8 Κρίσπος δέ, ὁ ἀρχισυνάγωγος, ἐπίστευσεν
τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ· καὶ πολλοὶ
τῶν Κορινθίων, ἀκούοντες,† ἐπίστευον καὶ
ἐβαπτίζοντο. 9 Εἶπεν δὲ ὁ Κύριος δι᾽ ὁράματος
ἐν νυκτὶ‡ τῷ Παύλῳ· «Μὴ φοβοῦ· ἀλλὰ λάλει
καὶ μὴ σιωπήσῃς, 10 διότι ἐγώ εἰμι μετὰ
σοῦ καὶ οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί
σε, διότι λαός ἐστίν μοι πολὺς ἐν τῇ πόλει
ταύτῃ.» 11 Ἐκάθισέν τε§ ἐνιαυτὸν καὶ μῆνας
ἕξ, διδάσκων ἐν αὐτοῖς τὸν λόγον τοῦ Θεοῦ.

### *Gallio*

12 Γαλλίωνος δὲ ἀνθυπατεύοντος* τῆς

---

† **18:6** εκτιναξαμενος *rell* ¦ εκτειναξαμενος [17%] ¦ one other variant ‡ **18:6** τας κεφαλας **f**35 [20%] ¦ την κεφαλην אA,B [80%] HF,RP,OC,TR,CP,NU § **18:7** ηλθεν **f**35 B [95%] HF,RP,OC,TR,CP ¦ εισηλθεν אA,D [5%] NU * **18:7** ονοματι **f**35 A [95%] HF,RP,OC,TR,CP ¦ 1 τιτιου B [1%] NU ¦ 1 τιτου א [4%] † **18:8** ακουοντες **f**35 אA,B [50%] HF,RP,OC,TR,CP,NU ¦ ακουσαντες [50%] ‡ **18:9** δι οραματος εν νυκτι **f**35 (D) [92%] HF,RP,OC,TR,CP ¦ 3412 אB [3%] NU ¦ εν οραματι 34 [5%] ¦ εν οραματι A § **18:11** τε **f**35 [94%] HF,RP,OC,TR,CP ¦ δε אA,B [5%] NU ¦ ται [1%] ¦ και (D) * **18:12** ανθυπατευοντος **f**35 [95%] HF,RP,OC,TR,CP ¦ ανθυπατου οντος אA,B,D [3%] NU ¦ two other variants [2%]

Ἀχαΐας, κατεπέστησαν ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι† τῷ Παύλῳ καὶ ἤγαγον αὐτὸν ἐπὶ τὸ βῆμα,
13 λέγοντες ὅτι «Παρὰ τὸν νόμον ἀναπείθει οὗτος‡ τοὺς ἀνθρώπους σέβεσθαι τὸν Θεόν.»
14 Μέλλοντος δὲ τοῦ Παύλου ἀνοίγειν τὸ στόμα, εἶπεν ὁ Γαλλίων πρὸς τοὺς Ἰουδαίους· «Εἰ μὲν οὖν§ ἦν ἀδίκημά τι* ἢ ῥᾳδιούργημα πονηρόν, ὦ Ἰουδαῖοι, κατὰ λόγον ἂν ἠνεσχόμην† ὑμῶν·
15 εἰ δὲ ζήτημά‡ ἐστιν περὶ λόγου καὶ ὀνομάτων καὶ νόμου τοῦ καθ᾽ ὑμᾶς, ὄψεσθε αὐτοί· κριτὴς γὰρ§ ἐγὼ τούτων οὐ βούλομαι εἶναι.»
16 Καὶ ἀπήλασεν αὐτοὺς ἀπὸ τοῦ βήματος.
17 Ἐπιλαβόμενοι δὲ πάντες οἱ Ἕλληνες* Σωσθένην, τὸν ἀρχισυνάγωγον, ἔτυπτον ἔμπροσθεν τοῦ βήματος. Καὶ οὐδὲν

† **18:12** ομοθυμαδον οι ιουδαιοι *rell* ¦ 231 B [14%] ‡ **18:13** αναπειθει ουτος **f**35 א(A)B [25%] NU ¦ 21 D [65%] HF,RP,OC,TR,CP ¦ 1 πειθει [10%] § **18:14** ουν **f**35 [85%] HF,RP,OC,TR,CP ¦ — אA,B,D [15%] NU * **18:14** ην αδικημα τι *rell* ¦ 231 [3%] CP ¦ 23 [3%] † **18:14** ηνεσχομην **f**35 [97%] HF,RP,OC,TR,CP ¦ ανεσχομην אA,B [3%] NU ‡ **18:15** ζητημα **f**35 D [94%] HF,RP,OC,TR,CP ¦ ζητηματα אA,B [6%] NU § **18:15** γαρ **f**35 [97%] HF,RP,OC,TR,CP ¦ — אA,B,D [3%] NU * **18:17** οι ελληνες **f**35 D (96.4%) HF,RP,OC,TR,CP ¦ 1 ιουδαιοι (1.9%) ¦ — אA,B (1.7%) NU

τούτων τῷ Γαλλίωνι ἔμελλεν.†

### *To Ephesus and Antioch*

18 Ὁ δὲ Παῦλος ἔτι προσμείνας ἡμέρας
ἱκανάς, τοῖς ἀδελφοῖς ἀποταξάμενος, ἐξέπλει
εἰς τὴν Συρίαν, καὶ σὺν αὐτῷ Πρίσκιλλα
καὶ Ἀκύλας (κειράμενος τὴν κεφαλὴν ἐν
Κεγχρεαῖς,‡ εἶχεν γὰρ εὐχήν). 19 Κατήντησεν§
δὲ εἰς Ἔφεσον κἀκείνους* κατέλιπεν† αὐτοῦ
(αὐτὸς δὲ εἰσελθὼν εἰς τὴν συναγωγὴν
διελέχθη‡ τοῖς Ἰουδαίοις). 20 Ἐρωτώντων
δὲ αὐτῶν§ ἐπὶ πλείονα χρόνον μεῖναι παρ᾽
αὐτοῖς,* οὐκ ἐπένευσεν· 21 ἀλλ᾽† ἀπετάξατο
αὐτοῖς‡ εἰπών, «Δεῖ με πάντως τὴν ἑορτὴν

---

† **18:17** εμελλεν **f**35 ℵ [85%] HF,RP,CP ¦ εμελεν A,B [14%] OC,TR,NU ¦ ημελλεν [1%] ¦ — D (Is the verb μελλω or μελω? If the former, the meaning is not common and could easily give rise to the latter. Render: 'None of this was a delay to Gallio'; Gallio is in the dative. Gallio presumably considered himself to be a busy man and did not appreciate the interruption; he was not about to allow himself to be further delayed. In 22:16 the same verb has the sense of 'delay'.) ‡ **18:18** την κεφαλην εν κεγχρεαις (κεχρεαις 20%) **f**35 D [96%] HF,RP,OC,TR(CP) ¦ 3412 (ℵ)(A,B) [4%] NU § **18:19** κατηντησεν **f**35 [98%] HF,RP,OC,TR,CP ¦ κατηντησαν ℵA,B [2%] NU ¦ καταντησας D * **18:19** κακεινους **f**35 ℵA,B [29%] OC,TR,CP,NU ¦ και εκεινους [70%] HF,RP ¦ κακει [1%] ¦ εκεινους D † **18:19** κατελιπεν *rell* ¦ κατελειπεν A [25%] ‡ **18:19** διελεχθη **f**35 [94%] HF,RP,OC,TR,CP ¦ διελεξατο ℵA,B [3%] NU ¦ διελεγχθη [2%] ¦ διελεγετο D [1%] § **18:20** αυτων *rell* ¦ αυτον [15%] * **18:20** παρ αυτοις **f**35 D (91.5%) HF,RP,OC,TR,CP ¦ — ℵA,B (8.5%) NU † **18:21** αλλ *rell* ¦ αλλα ℵA,B,D [40%] OC,CP ‡ **18:21** απεταξατο αυτοις **f**35 [96%] HF,RP,OC,TR,CP ¦ αποταξαμενος και ℵA,B,D [2%] NU ¦ αποταξαμενος 2 και [2%]

τὴν ἐρχομένην ποιῆσαι εἰς Ἱεροσόλυμα·§ πάλιν δὲ* ἀνακάμψω πρὸς ὑμᾶς, τοῦ Θεοῦ θέλοντος.» Καὶ ἀνήχθη† ἀπὸ τῆς Ἐφέσου.

22 Καὶ κατελθὼν εἰς Καισάρειαν, ἀναβὰς καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν, κατέβη εἰς
Ἀντιόχειαν. 23 Καὶ ποιήσας χρόνον τινὰ
ἐξῆλθεν, διερχόμενος καθεξῆς τὴν Γαλατικὴν χώραν καὶ Φρυγίαν, ἐπιστηρίζων πάντας τοὺς μαθητάς.‡

## *Apollos*

24 Ἰουδαῖος δέ τις Ἀπολλὼς ὀνόματι,§ Ἀλεξανδρεὺς τῷ γένει, ἀνὴρ λόγιος, κατήντησεν εἰς Ἔφεσον, δυνατὸς ὢν ἐν ταῖς
Γραφαῖς. 25 Οὗτος ἦν κατηχημένος τὴν ὁδὸν
τοῦ Κυρίου, καὶ ζέων τῷ Πνεύματι ἐλάλει καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ Ἰησοῦ,* ἐπιστάμενος μόνον τὸ βάπτισμα Ἰωάννου.
26 Οὗτός τε ἤρξατο παρρησιάζεσθαι ἐν τῇ
συναγωγῇ. Ἀκούσαντες δὲ αὐτοῦ Ἀκύλας καὶ Πρίσκιλλα,† προσελάβοντο αὐτὸν καὶ

---

§ **18:21** δει με παντως την εορτην την ερχομενην ποιησαι εις ιεροσολυμα **f**35 (D) [97%] HF,RP,OC,TR,CP ¦ — אA,B [3%] NU * **18:21** δε **f**35 [96%] HF,RP,OC,TR,CP ¦ — אA,B(D) [4%] NU † **18:21** και ανηχθη **f**35 [96%] HF,OC,TR,CP ¦ 2 A,B,D [3%] RP,NU ¦ 2 δε א (0.4%) (*TuT* is way off here) ‡ **18:23** παντας τους μαθητας *rell* ¦ 231 CP ¦ 23 [2%] § **18:24** ονοματι *rell* ¦ ονομα CP * **18:25** ιησου **f**35 אA,B(D) [35%] NU ¦ κυριου [65%] HF,RP,OC,TR,CP † **18:26** ακυλας και πρισκιλλα **f**35 D [98%] HF,RP,OC,TR,CP ¦ 321 (א)A,B [2%] NU

ἀκριβέστερον αὐτῷ ἐξέθεντο‡ τὴν τοῦ Θεοῦ ὁδόν.§
27 Βουλομένου δὲ αὐτοῦ διελθεῖν εἰς τὴν Ἀχαΐαν, προτρεψάμενοι οἱ ἀδελφοὶ ἔγραψαν τοῖς μαθηταῖς ἀποδέξασθαι αὐτόν· ὃς παραγενόμενος συνεβάλετο πολὺ τοῖς πεπιστευκόσιν διὰ τῆς χάριτος·
28 εὐτόνως γὰρ τοῖς Ἰουδαίοις διακατηλέγχετο δημοσίᾳ, ἐπιδεικνὺς διὰ τῶν Γραφῶν εἶναι τὸν Χριστὸν Ἰησοῦν.

# 19

## *Back to Ephesus*

1 Ἐγένετο δὲ ἐν τῷ τὸν Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ, Παῦλον, διελθόντα τὰ ἀνωτερικὰ μέρη, ἐλθεῖν* εἰς Ἔφεσον.

## *Disciples of John*

Καὶ εὑρών† τινας μαθητὰς‡
2 εἶπεν§ πρὸς αὐτούς, «Εἰ Πνεῦμα Ἅγιον ἐλάβετε πιστεύσαντες;» Οἱ δὲ εἶπον* πρὸς αὐτόν,

---

‡ **18:26** εξεθεντο *rell* ¦ εξεθετο [12%] ¦ εξεθοντο D § **18:26** του θεου οδον **f**35 [86%] HF,RP,TR ¦ 312 אA,B [5%] OC,CP[NU] ¦ 1 κυριου 3 [5%] ¦ 31 κυριου [2%] ¦ λογον 1 κυριου [2%] ¦ 3 D * **19:1** ελθειν **f**35 B [92%] HF,RP,OC,TR,CP ¦ κατελθειν (א)A [4%] [NU] ¦ ερχεται D ¦ two other variants [4%] † **19:1** ευρων **f**35 D [85.5%] HF,RP,OC,TR,CP ¦ ευρον [9%] ¦ ευρειν A,B (5.5%) NU ¦ ευριν א ‡ **19:1** τινας μαθητας *rell* ¦ 21 OC § **19:2** ειπεν **f**35 D (94.7%) HF,RP,OC,TR,CP ¦ 1 τε אA,B (3.6%) NU ¦ 1 δε (1.7%) * **19:2** ειπον **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — אA,B,D [5%] NU

«Ἀλλ᾽ οὐδὲ† εἰ Πνεῦμα Ἅγιόν ἐστιν
ἠκούσαμεν.» 3 Εἶπέν τε,‡ «Εἰς τί οὖν
ἐβαπτίσθητε;» Οἱ δὲ εἶπον,§ «Εἰς τὸ Ἰωάννου
βάπτισμα.» 4 Εἶπεν δὲ* Παῦλος, «Ἰωάννης
μὲν† ἐβάπτισεν βάπτισμα μετανοίας, τῷ λαῷ
λέγων εἰς τὸν ἐρχόμενον μετ᾽ αὐτὸν ἵνα
πιστεύσωσιν, τοῦτ᾽ ἔστιν, εἰς τὸν Χριστόν,‡
Ἰησοῦν.»§ 5 Ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς
τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. 6 Καὶ ἐπιθέντος
αὐτοῖς τοῦ Παύλου τὰς* χεῖρας ἦλθεν τὸ
Πνεῦμα τὸ Ἅγιον ἐπ᾽ αὐτούς, ἐλάλουν τε

---

† **19:2** ουδε **f**$^{35}$ (D) [98%] HF,RP,OC,TR,CP ¦ ουδ אA,B [2%] NU ‡ **19:3** 1) ειπεν τε **f**$^{35}$ B (18.3%) NU ¦ ειπεν δε D (4.5%) ¦ ειπεν ουν (1.7%) 2) ειπεν τε προς αυτους (61.6%) HF,RP,OC,TR,CP ¦ ειπεν δε προς αυτους (5.1%) ¦ ειπεν προς αυτους (1.1%) 3) ο δε ειπεν אA (3.6%) ¦ ο δε ειπεν αυτοις (4%) ¦ ο δε παυλος προς αυτους 𝔓$^{38}$At issue is a minor question of taste or style. The second set of three gives the complete formula, the first gives a shortened form. We observe that in verse 2 there is a complete exchange between Paul and the group of disciples, and the full introductory formula is used for both. In verse 3 there is a second complete exchange, wherein the second introductory formula is short—should not the first introductory formula also be short, to match it? That would seem to make for better style. But the attestation for the long form is fairly strong, 67.8% vs 24.5%. Presumably the contenders are the first variants in 1) and 2), so τε wins over δε. I consider that the first variant in 1) really is the better reading, as well as being attested by **f**$^{35}$. § **19:3** ειπον *rell* ¦ ειπαν אA,B [2%] NU * **19:4** δε *rell* ¦ τε [45%] † **19:4** μεν **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ — אA,B,D [4%] NU ‡ **19:4** χριστον **f**$^{35}$ (D) [96%] HF,RP,OC,TR,CP ¦ — אA,B [4%] NU § **19:4** χριστον ιησουν *rell* ¦ 21 OC * **19:6** τας **f**$^{35}$ [55%] HF,RP,OC,TR,CP[NU] ¦ — אA,B(D) [45%]

γλώσσαις καὶ προεφήτευον.† 7 Ἦσαν δὲ οἱ
πάντες ἄνδρες ὡσεὶ δεκαδύο.‡

### *The school of Tyrannus becomes the base*

8 Εἰσελθὼν δὲ εἰς τὴν συναγωγὴν
ἐπαρρησιάζετο, ἐπὶ μῆνας τρεῖς,
διαλεγόμενος καὶ πείθων τὰ§ περὶ τῆς
βασιλείας τοῦ Θεοῦ. 9 Ὡς δέ τινες
ἐσκληρύνοντο καὶ ἠπείθουν, κακολογοῦντες
τὴν Ὁδὸν ἐνώπιον τοῦ πλήθους, ἀποστὰς ἀπ᾽
αὐτῶν ἀφώρισεν τοὺς μαθητάς, καθ᾽ ἡμέραν
διαλεγόμενος ἐν τῇ σχολῇ Τυράννου τινός.*
10 Τοῦτο δὲ ἐγένετο ἐπὶ ἔτη δύο, ὥστε πάντας
τοὺς κατοικοῦντας τὴν Ἀσίαν ἀκοῦσαι τὸν
λόγον τοῦ Κυρίου Ἰησοῦ,† Ἰουδαίους τε καὶ
Ἕλληνας.

11 Δυνάμεις δὲ‡ οὐ τὰς τυχούσας ἐποίει ὁ
Θεὸς§ διὰ τῶν χειρῶν Παύλου, 12 ὥστε καὶ
ἐπὶ τοὺς ἀσθενοῦντας ἐπιφέρεσθαι* ἀπὸ τοῦ
χρωτὸς αὐτοῦ σουδάρια ἢ σιμικίνθια, καὶ

---

† **19:6** προεφητευον **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ επροφητευον ℵA,B,D [7%] NU ‡ **19:7** δεκαδυο **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ δωδεκα ℵA,B,D [6%] NU § **19:8** τα **f**[35] ℵA [96%] HF,RP,OC,TR,CP[NU] ¦ — B,D [4%] * **19:9** τινος **f**[35] (D) [97%] HF,RP,OC,TR,CP ¦ — ℵA,B [3%] NU † **19:10** ιησου **f**[35] [87%] HF,RP,OC,TR,CP ¦ — ℵA,B(D) [13%] NU ‡ **19:11** δε **f**[35] D [22%] ¦ τε ℵA,B [78%] HF,RP,OC,TR,CP,NU § **19:11** εποιει ο θεος **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ 231 ℵA,B,D [5%] NU * **19:12** επιφερεσθαι **f**[35] D [90%] HF,RP,OC,TR,CP ¦ αποφερεσθαι ℵA,B [5%] NU ¦ two other variants [5%]

ἀπαλλάσσεσθαι† ἀπ᾽ αὐτῶν τὰς νόσους τά τε
πνεύματα τὰ πονηρὰ ἐξέρχεσθαι ἀπ᾽ αὐτῶν.‡

### *Some fake exorcists*

13 Ἐπεχείρησαν§ δέ τινες ἀπὸ* τῶν
περιερχομένων Ἰουδαίων ἐξορκιστῶν
ὀνομάζειν ἐπὶ τοὺς ἔχοντας τὰ πνεύματα
τὰ πονηρὰ τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ,
λέγοντες, «Ὁρκίζομεν† ὑμᾶς τὸν Ἰησοῦν ὃν
ὁ ‡ Παῦλος κηρύσσει.» 14 Ἦσαν δέ τινες§
υἱοὶ Σκευᾶ Ἰουδαίου ἀρχιερέως ἑπτὰ* οἱ†
τοῦτο ποιοῦντες. 15 Ἀποκριθὲν δὲ τὸ πνεῦμα
τὸ πονηρὸν εἶπεν,‡ «Τὸν§ Ἰησοῦν γινώσκω,
καὶ τὸν Παῦλον ἐπίσταμαι, ὑμεῖς δὲ τίνες
ἐστέ;» 16 Καὶ ἐφαλλόμενος* ἐπ᾽ αὐτοὺς ὁ

---

† **19:12** απαλλασσεσθαι *rell* ¦ απαλλασεσθαι B [15%] ¦ at least six further spellings ‡ **19:12** εξερχεσθαι απ αυτων $\mathbf{f}^{35}$ [88%] HF,RP,OC,TR,CP ¦ εκπορευεσθαι ℵA,B,D [7%] NU ¦ 1 [5%] § **19:13** επεχειρησαν *rell* ¦ επεχειρισαν [3%] CP ¦ επεχιρησαν ℵ * **19:13** απο $\mathbf{f}^{35}$ [55%] HF,RP,OC,TR,CP ¦ και ℵA,B [5%] NU ¦ και 1 [40%] ¦ εκ D † **19:13** ορκιζομεν $\mathbf{f}^{35}$ [90%] HF,RP,OC,TR,CP ¦ ορκιζω ℵA,B,D [3%] NU ¦ ορκιζωμεν [1%] ¦ εξορκιζομεν [5%] ¦ — [1%] ‡ **19:13** ο $\mathbf{f}^{35}$ [35%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,D [65%] NU § **19:14** τινες $\mathbf{f}^{35}$ ℵA (95.8%) HF,RP,OC,TR,CP ¦ τινος [$\mathfrak{P}^{38}$]B[D] (4%) NU ¦ — $\mathfrak{P}^{38}$ and D have a long addition ¦ one other variant * **19:14** υιοι σκευα ιουδαιου αρχιερεως επτα $\mathbf{f}^{35}$ (91%) HF,RP,OC,TR,CP ¦ 23451 ℵ(A)B (8.5%) NU ¦ — $\mathfrak{P}^{38}$ and D are wild † **19:14** οι $\mathbf{f}^{35}$ (95%) HF,RP,OC,TR,CP ¦ — ℵA,B (4.7%) NU ¦ — $\mathfrak{P}^{38}$ and D are wild ‡ **19:15** ειπεν $\mathbf{f}^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ 1 αυτοις ℵA,B,D [7%] NU § **19:15** τον $\mathbf{f}^{35}$ ℵA,D [97%] HF,RP,OC,TR,CP ¦ 1 μεν B [3%] [NU] * **19:16** εφαλλομενος $\mathbf{f}^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ εφαλομενος ℵA,B [5%] NU ¦ εναλλομενος D ¦ two other variants [1%]

ἄνθρωπος† ἐν ᾧ ἦν τὸ πνεῦμα τὸ πονηρὸν
καὶ‡ κατακυριεύσαν§ αὐτῶν·* ἴσχυσεν κατ'
αὐτῶν, ὥστε γυμνοὺς καὶ τετραυματισμένους
ἐκφυγεῖν ἐκ τοῦ οἴκου ἐκείνου. 17 Τοῦτο δὲ
ἐγένετο πᾶσιν γνωστόν,† Ἰουδαίοις τε καὶ
Ἕλλησιν, τοῖς κατοικοῦσιν τὴν Ἔφεσον·
καὶ ἐπέπεσεν φόβος ἐπὶ πάντας αὐτούς, καὶ
ἐμεγαλύνετο τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ.
18 Πολλοί τε τῶν πεπιστευκότων ἤρχοντο,
ἐξομολογούμενοι καὶ ἀναγγέλλοντες‡ τὰς
πράξεις αὐτῶν. 19 Ἱκανοὶ δὲ τῶν τὰ
περίεργα πραξάντων συνενέγκαντες τὰς
βίβλους κατέκαιον ἐνώπιον πάντων (καὶ
συνεψηφίσαντο§ τὰς τιμὰς αὐτῶν καὶ εὗρον
ἀργυρίου μυριάδας πέντε). 20 Οὕτως κατὰ
κράτος ὁ λόγος τοῦ Κυρίου* ηὔξανεν καὶ
ἴσχυεν.
21 Ὡς δὲ ἐπληρώθη ταῦτα, ἔθετο ὁ Παῦλος

† **19:16** επ αυτους ο ανθρωπος **f**35 (D) [93%] HF,RP,OC,TR,CP ¦ 3412 ℵA,B [5%] NU ¦ 34 [2%] ‡ **19:16** και **f**35 ℵ [95%] HF,RP,OC,TR,CP ¦ — A,B(D) [5%] NU § **19:16** κατακυριευσαν **f**35 A [80%] HF,RP,CP ¦ κατακυριευσας ℵB [18%] OC,TR,NU ¦ κυριευσας D [1%] ¦ κατεκυριευσεν [1%] * **19:16** αυτων **f**35 [90%] HF,RP,OC,TR,CP ¦ αμφοτερων ℵA,B,D [5%] NU ¦ two other variants [5%] † **19:17** εγενετο πασιν γνωστον **f**35 [20%] ¦ 132 ℵA,B,D [75%] HF,RP,OC,TR,CP,NU ¦ 312 [5%] ‡ **19:18** αναγγελλοντες *rell* ¦ αναγγελοντες [18%] ¦ one other variant § **19:19** συνεψηφισαντο **f**35 [20%] ¦ συνεψηφισαν ℵA,B(D) [67%] HF,RP,OC,TR,CP,NU ¦ συνεψηφησαν [12%] ¦ two other variants [1%] * **19:20** ο λογος του κυριου **f**35 [97%] HF,RP,OC,TR,CP ¦ 3412 ℵA,B [1%] NU ¦ 123 θεου [2%] ¦ 3 θεου D

ἐν τῷ πνεύματι, διελθὼν† τὴν Μακεδονίαν καὶ
Ἀχαΐαν, πορεύεσθαι εἰς Ἱερουσαλήμ,‡ εἰπὼν
ὅτι «Μετὰ τὸ γενέσθαι με ἐκεῖ, δεῖ με καὶ
Ῥώμην ἰδεῖν.» 22 Ἀποστείλας δὲ εἰς τὴν
Μακεδονίαν δύο τῶν διακονούντων αὐτῷ,
Τιμόθεον καὶ Ἔραστον, αὐτὸς ἐπέσχεν χρόνον
εἰς τὴν Ἀσίαν.

*Demetrius*

23 Ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον
τάραχος οὐκ ὀλίγος περὶ τῆς Ὁδοῦ.
24 Δημήτριος γάρ τις ὀνόματι, ἀργυροκόπος,
ποιῶν ναοὺς ἀργυροῦς Ἀρτέμιδος, παρείχετο
τοῖς τεχνίταις ἐργασίαν οὐκ ὀλίγην·§ 25 οὓς
συναθροίσας, καὶ τοὺς περὶ τὰ τοιαῦτα
ἐργάτας, εἶπεν· «Ἄνδρες, ἐπίστασθε ὅτι ἐκ
ταύτης τῆς ἐργασίας ἡ εὐπορία ἡμῶν* ἐστιν.
26 Καὶ θεωρεῖτε καὶ ἀκούετε ὅτι οὐ μόνον
Ἐφέσου ἀλλὰ σχεδὸν πάσης τῆς Ἀσίας ὁ
Παῦλος οὗτος πείσας μετέστησεν ἱκανὸν
ὄχλον, λέγων ὅτι οὐκ εἰσὶν θεοὶ οἱ διὰ χειρῶν
γινόμενοι.† 27 Οὐ μόνον δὲ τοῦτο κινδυνεύει
ἡμῖν τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν, ἀλλὰ
καὶ τὸ τῆς μεγάλης θεᾶς Ἀρτέμιδος ἱερὸν‡

† **19:21** διελθων *rell* ¦ διελθειν A,D [20%] ¦ one other variant ‡ **19:21** ιερουσαλημ **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ ιεροσολυμα אA,B(D) [8%] NU § **19:24** εργασιαν ουκ ολιγην **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ 231 (א)A,B,D [4%] NU * **19:25** ημων **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ ημιν אA,B(D) [7%] NU † **19:26** γινομενοι *rell* ¦ γενομενοι D [15%] ¦ γεινομενοι B ¦ three other variants ‡ **19:27** αρτεμιδος ιερον **f**[35] אA,B [25%] OC,TR,NU ¦ 21 D [75%] HF,RP,CP

εἰς οὐδὲν§ λογισθῆναι, μέλλειν δὲ* καὶ
καθαιρεῖσθαι τὴν μεγαλειότητα† αὐτῆς, ἣν
ὅλη ἡ Ἀσία καὶ ἡ οἰκουμένη σέβεται.»
28 Ἀκούσαντες δὲ καὶ γενόμενοι πλήρεις‡
θυμοῦ ἔκραζον λέγοντες, «Μεγάλη ἡ Ἄρτεμις
Ἐφεσίων.» 29 Καὶ ἐπλήσθη ἡ πόλις ὅλη§
τῆς* συγχύσεως, ὥρμησάν τε ὁμοθυμαδὸν
εἰς τὸ θέατρον (συναρπάσαντες Γάϊον καὶ
Ἀρίσταρχον, Μακεδόνας, συνεκδήμους†
Παύλου). 30 Τοῦ δὲ Παύλου‡ βουλομένου
εἰσελθεῖν εἰς τὸν δῆμον, οὐκ εἴων αὐτὸν
οἱ μαθηταί. 31 Τινὲς δὲ καὶ τῶν Ἀσιαρχῶν,
ὄντες αὐτῷ φίλοι, πέμψαντες πρὸς αὐτὸν
παρεκάλουν μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον.
32 Ἄλλοι μὲν οὖν ἄλλο τι ἔκραζον, ἦν γὰρ ἡ
ἐκκλησία συγκεχυμένη, καὶ οἱ πλείους οὐκ
ᾔδεισαν τίνος ἕνεκεν§ συνεληλύθεισαν. 33 Ἐκ
δὲ τοῦ ὄχλου προεβίβασαν* Ἀλέξανδρον,
προβαλλόντων† αὐτὸν τῶν Ἰουδαίων. Ὁ δὲ

---

§ **19:27** ουδεν **f35** D [40%] TR ¦ ουθεν אA,B [60%] HF,RP,OC,CP,NU * **19:27** δε **f35** [88%] HF,RP,TR,CP ¦ τε אA,B [10%] OC,NU ¦ — D [2%] † **19:27** την μεγαλειοτητα **f35** [95%] HF,RP,OC,TR,CP ¦ της μεγαλειοτητος (א)A,B [5%] NU ¦ — D ‡ **19:28** πληρεις *rell* ¦ πληρης A [20%] ¦ πληρις א [1%] § **19:29** ολη **f35** (D) [92%] HF,RP,OC,TR,CP ¦ — אA,B [8%] NU * **19:29** της **f35** אA,B [95%] HF,RP,OC,NU ¦ — (D) [5%] TR,CP † **19:29** συνεκδημους *rell* ¦ 1 του [5%] TR ‡ **19:30** του δε παυλου **f35** [95%] HF,RP,OC,TR,CP ¦ 32 אA,B [3%] NU ¦ 132 [1%] ¦ 213 (D) § **19:32** ενεκεν **f35** D [97%] HF,RP,OC,TR,CP ¦ ενεκα אA,B [3%] NU * **19:33** προεβιβασαν **f35** [96%] HF,RP,OC,TR,CP ¦ συνεβιβασαν אA,B [4%] NU ¦ κατεβιβασαν D † **19:33** προβαλλοντων **f35** D [65%] OC,CP ¦ προβαλοντων אA,B [35%] HF,RP,TR,NU

Ἀλέξανδρος, κατασείσας τὴν χεῖρα, ἤθελεν
ἀπολογεῖσθαι τῷ δήμῳ. 34 Ἐπιγνόντες‡ δὲ ὅτι
Ἰουδαῖός ἐστιν, φωνὴ ἐγένετο μία ἐκ πάντων
ὡς ἐπὶ ὥρας δύο κραζόντων, «Μεγάλη ἡ
Ἄρτεμις Ἐφεσίων.»

35 Καταστείλας δὲ ὁ γραμματεὺς τὸν
ὄχλον φησίν· «Ἄνδρες Ἐφέσιοι, τίς γάρ
ἐστιν ἄνθρωπος§ ὃς οὐ γινώσκει τὴν
Ἐφεσίων πόλιν νεωκόρον* οὖσαν τῆς
μεγάλης θεᾶς† Ἀρτέμιδος καὶ τοῦ Διοπετοῦς;
36 Ἀναντιρρήτων οὖν ὄντων τούτων, δέον
ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν καὶ
μηδὲν προπετὲς πράσσειν.‡ 37 Ἠγάγετε
γὰρ τοὺς ἄνδρας τούτους, οὔτε ἱεροσύλους
οὔτε βλασφημοῦντας τὴν θεὸν§ ὑμῶν.*
38 Εἰ μὲν οὖν Δημήτριος καὶ οἱ σὺν αὐτῷ
τεχνῖται ἔχουσιν πρός τινα λόγον,† ἀγοραῖοι
ἄγονται, καὶ ἀνθύπατοί εἰσιν· ἐγκαλείτωσαν‡

‡ **19:34** επιγνοντες **f**[35] אA,B [70%] HF,RP,OC,CP,NU ¦ επιγνοντων [5%] TR ¦ επιγνωντες [25%] § **19:35** ανθρωπος **f**[35] D [92%] HF,RP,OC,TR,CP ¦ ανθρωπων אA,B [8%] NU * **19:35** νεωκορον *rell* ¦ νεοκορον [25%] ¦ ναοκορον D † **19:35** θεας **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ — אA,B,D [6%] NU ‡ **19:36** πρασσειν *rell* ¦ πραττειν [10%] TR ¦ πρασσιν א ¦ two other variants § **19:37** θεον *rell* ¦ θεαν D [15%] OC,TR * **19:37** υμων **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ ημων אA,B,D [10%] NU † **19:38** εχουσιν προς τινα λογον **f**[35] אA,B [95%] HF,RP,OC,CP,NU ¦ 2341 [5%] TR ‡ **19:38** εγκαλειτωσαν *rell* ¦ εγκαλητωσαν [20%] ¦ εγκαλιτωσαν D [1%]

ἀλλήλοις. 39 Εἰ δέ τι περὶ ἑτέρων§ ἐπιζητεῖτε,*
ἐν τῇ ἐννόμῳ ἐκκλησίᾳ ἐπιλυθήσεται. 40 Καὶ
γὰρ κινδυνεύομεν ἐγκαλεῖσθαι στάσεως, περὶ
τῆς σήμερον, μηδενὸς αἰτίου ὑπάρχοντος
περὶ οὗ οὐ† δυνησόμεθα ἀποδοῦναι‡ λόγον§
τῆς συστροφῆς ταύτης.» 41 Καὶ ταῦτα εἰπὼν
ἀπέλυσεν τὴν ἐκκλησίαν.

## Paul makes his own plans

# 20

*Greece*

1 Μετὰ δὲ τὸ παύσασθαι τὸν θόρυβον,
προσκαλεσάμενος* ὁ Παῦλος τοὺς μαθητὰς
καὶ† ἀσπασάμενος, ἐξῆλθεν πορευθῆναι‡
εἰς τὴν§ Μακεδονίαν. 2 Διελθὼν δὲ τὰ
μέρη ἐκεῖνα καὶ παρακαλέσας αὐτοὺς λόγῳ
πολλῷ, ἦλθεν εἰς τὴν Ἑλλάδα. 3 Ποιήσας τε

---

§ **19:39** περι ετερων **f**35 אA,D (92.7%) HF,RP,OC,TR,CP ¦ περαιτερω B (4.7%) NU ¦ περετερω (1.1%) ¦ περετερον (0.6%) ¦ three other variants (0.9%) * **19:39** επιζητειτε *rell* ¦ επιζητειται א [13%] ¦ ζητειτε [2%] ¦ one other variant † **19:40** ου **f**35 אA,B [90%] HF,RP,CP[NU] ¦ — D [10%] OC,TR ‡ **19:40** αποδουναι **f**35 אA,B,D [20%] OC,TR,NU ¦ δουναι [80%] HF,RP,CP ¦ two other variants § **19:40** λογον **f**35 D [93%] HF,RP,OC,TR,CP ¦ 1 περι אA,B [7%] NU * **20:1** προσκαλεσαμενος **f**35 A,D [95%] HF,RP,OC,TR,CP ¦ μεταπεμψαμενος אB [3%] NU ¦ μεταστειλαμενος [2%] † **20:1** και **f**35 [93%] HF,RP,OC,TR,CP ¦ 1 παρακαλεσας A,B(D) [6%] NU ¦ 1 παρακαλεσας 1 א [1%] ¦ one other variant ‡ **20:1** πορευθηναι **f**35 [95%] HF,RP,OC,TR,CP ¦ πορευεσθαι אA,B [3%] NU ¦ — D [2%] § **20:1** την **f**35 A [80%] HF,RP,TR,CP ¦ — אB,D [20%] OC,NU

μῆνας τρεῖς, γενομένης ἐπιβουλῆς αὐτῷ*
ὑπὸ τῶν Ἰουδαίων, μέλλοντι ἀνάγεσθαι
εἰς τὴν Συρίαν, ἐγένετο γνώμη† τοῦ
ὑποστρέφειν διὰ Μακεδονίας. 4 Συνείπετο
δὲ αὐτῷ ἄχρι τῆς Ἀσίας‡ Σώπατρος§
Βερροιαῖος,* Θεσσαλονικέων† δὲ Ἀρίσταρχος
καὶ Σεκοῦνδος, καὶ Γάϊος Δερβαῖος, καὶ
Τιμόθεος, Ἀσιανοὶ δὲ Τυχικὸς καὶ Τρόφιμος·
5 οὗτοι‡ προελθόντες§ ἔμενον ἡμᾶς ἐν Τρῳάδι.
6 Ἡμεῖς δὲ ἐξεπλεύσαμεν μετὰ τὰς ἡμέρας
τῶν ἀζύμων ἀπὸ Φιλίππων, καὶ ἤλθομεν πρὸς
αὐτοὺς εἰς τὴν Τρῳάδα ἄχρις* ἡμερῶν πέντε,
οὗ† διετρίψαμεν ἡμέρας ἑπτά.

### *Troas*

7 Ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων, συνηγμένων

---

* **20:3** επιβουλης αυτω **f**$^{35}$ ℵA,B [20%] NU ¦ 21 D [80%] HF,RP,OC,TR,CP † **20:3** γνωμη **f**$^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ γνωμης ℵA,B [7%] NU ¦ D is wild ‡ **20:4** αχρι της ασιας **f**$^{35}$ A (97%) HF,RP,OC,TR,CP ¦ — ℵB (1.1%) NU ¦ μεχρι 23 D (0.6%) ¦ 12 μακεδονιας (1.3%) § **20:4** σωπατρος **f**$^{35}$ [95%] HF,RP,OC,TR ¦ 1 πυρρου ℵA,B,D [5%] CP,NU * **20:4** βερροιαιος **f**$^{35}$ [25%] ¦ βεροιαιος A,B [35%] HF,RP,OC,TR,CP,NU ¦ βηροιαιος [30%] ¦ βερυαιος (D) [9%] ¦ βεροιος ℵ ¦ two other spellings † **20:4** θεσσαλονικεων *rell* ¦ θεσσαλονικαιων ℵ [10%] ¦ θεσαλονικαιων [10%] ¦ three other variants ‡ **20:5** ουτοι **f**$^{35}$ D [94%] HF,RP,OC,TR,CP ¦ 1 δε ℵA,B [6%] NU § **20:5** προελθοντες **f**$^{35}$ D [45%] OC,TR,NU ¦ προσελθοντες ℵA$^{V}$B [55%] HF,RP,CP * **20:6** αχρις **f**$^{35}$ [58%] HF,OC,TR ¦ αχρι A,B [40%] RP,CP,NU ¦ απο ℵ [1%] ¦ two other variants ¦ D is wild † **20:6** ου **f**$^{35}$ B [98%] HF,RP,OC,TR,CP ¦ οπου ℵA [2%] NU ¦ εν η D

τῶν μαθητῶν‡ κλάσαι§ ἄρτον, ὁ Παῦλος
διελέγετο αὐτοῖς, μέλλων* ἐξιέναι τῇ
ἐπαύριον παρέτεινέν τε τὸν λόγον μέχρι
μεσονυκτίου. 8 Ἦσαν δὲ λαμπάδες ἱκαναὶ
ἐν τῷ ὑπερῴῳ οὗ ἦμεν† συνηγμένοι.
9 Καθήμενος‡ δέ τις νεανίας ὀνόματι
Εὔτυχος ἐπὶ τῆς θυρίδος, καταφερόμενος
ὕπνῳ βαθεῖ, διαλεγομένου τοῦ Παύλου ἐπὶ
πλεῖον· κατενεχθεὶς ἀπὸ§ τοῦ ὕπνου ἔπεσεν
ἀπὸ τοῦ τριστέγου κάτω καὶ ἤρθη νεκρός.
10 Καταβὰς δὲ ὁ Παῦλος ἐπέπεσεν αὐτῷ, καὶ
συμπεριλαβὼν* εἶπεν, «Μὴ θορυβεῖσθε,† ἡ
γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν.» 11 Ἀναβὰς
δὲ καὶ κλάσας‡ ἄρτον καὶ γευσάμενος, ἐφ᾽
ἱκανόν τε ὁμιλήσας ἄχρις§ αὐγῆς—οὕτως
ἐξῆλθεν. 12 (Ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ
παρεκλήθησαν οὐ μετρίως.)
13 Ἡμεῖς δὲ προσελθόντες* ἐπὶ τὸ πλοῖον

---

‡ **20:7** των μαθητων $\mathbf{f}^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ ημων אA,B,D [7%] NU § **20:7** κλασαι $\mathbf{f}^{35}$ אA,B [95%] HF,RP,OC,CP,NU ¦ του 1 D [5%] TR * **20:7** μελλων *rell* ¦ μελλον [12%] † **20:8** ημεν $\mathbf{f}^{35}$ אA,B,D [85%] HF,RP,OC,CP,NU ¦ ησαν [15%] TR ‡ **20:9** καθημενος $\mathbf{f}^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ καθεζομενος אA,B,D [4%] NU § **20:9** απο *rell* ¦ υπο D [30%] * **20:10** συμπεριλαβων *rell* ¦ συνπεριλαβων אA,B,D [15%] ¦ συμπαραλαβων [5%] † **20:10** θορυβεισθε *rell* ¦ θορυβησθε [5%] CP ¦ θορυβεισθαι B,C [4%] ¦ θορυβισθαι D [1%] ‡ **20:11** κλασας $\mathbf{f}^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ 1 τον אA,B,C,D [3%] NU § **20:11** αχρις $\mathbf{f}^{35}$ (C)D [97%] HF,OC,TR,CP ¦ αχρι אA,B [3%] RP,NU ¦ one other variant * **20:13** προσελθοντες $\mathbf{f}^{35}$ A,B [85%] HF,RP ¦ προελθοντες אC [15%] OC,TR,CP,NU ¦ κατελθοντες D

ἀνήχθημεν εἰς† τὴν Ἄσσον,‡ ἐκεῖθεν μέλλοντες
ἀναλαμβάνειν τὸν Παῦλον—οὕτως γὰρ ἦν
διατεταγμένος,§ μέλλων αὐτὸς πεζεύειν.
14 Ὡς δὲ συνέβαλεν* ἡμῖν εἰς τὴν Ἄσσον
ἀναλαβόντες αὐτὸν ἤλθομεν εἰς Μιτυλήνην.†
15 Κἀκεῖθεν ἀποπλεύσαντες, τῇ ἐπιούσῃ
κατηντήσαμεν ἀντικρὺ‡ Χίου, τῇ δὲ ἑτέρᾳ
παρεβάλομεν εἰς Σάμον, καὶ μείναντες
ἐν Τρωγυλίῳ·§,* τῇ ἐχομένῃ† ἤλθομεν εἰς
Μίλητον. 16 (Ἔκρινεν‡ γὰρ ὁ Παῦλος
παραπλεῦσαι τὴν Ἔφεσον, ὅπως μὴ γένηται
αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ, ἔσπευδεν
γάρ, εἰ δυνατὸν ἦν§ αὐτῷ, τὴν ἡμέραν τῆς
Πεντηκοστῆς γενέσθαι εἰς Ἱεροσόλυμα.)

### *Miletus*

---

† **20:13** εις $\mathbf{f}^{35}$ D [95%] HF,RP,OC,TR,CP ¦ επι אA,B,C [5%] NU ‡ **20:13** ασσον *rell* ¦ ασον [10%] ¦ θασον [15%] ¦ θασσον [5%] ¦ two other spellings § **20:13** ην διατεταγμενος $\mathbf{f}^{35}$ D [96%] HF,RP,OC,TR,CP ¦ 21 אA(B) [4%] NU ¦ εντεταλμενος 1 C * **20:14** συνεβαλεν $\mathbf{f}^{35}$ C,D [90%] HF,RP,OC,TR,CP ¦ συνεβαλλεν A,B [10%] NU ¦ συνεβαλλον א † **20:14** μιτυληνην *rell* ¦ μιτυλινην A [11%] CP ¦ at least six further spellings ‡ **20:15** αντικρυ $\mathbf{f}^{35}$ [82%] HF,RP,OC,TR,CP ¦ αντικρυς אA,B,C,D [18%] NU § **20:15** τρωγυλιω $\mathbf{f}^{35}$ [20%] OC ¦ τρωγυλλιω [30%] HF,RP,TR ¦ τρογυλιω [13%] ¦ τρογυλλιω [18%] ¦ τρογγυλιω [13%] CP ¦ — אA,B,C (6.1%) NU ¦ seven other spellings D [2%] * **20:15** και μειναντες εν τρωγυλιω $\mathbf{f}^{35}$ D (93.8%) HF,RP,OC,TR,CP ¦ — אA,B,C (6.2%) NU † **20:15** τη εχομενη $\mathbf{f}^{35}$ (85.4%) HF,RP,OC,TR,CP ¦ 1 δε 2 אA,B,C (4%) NU ¦ 1 ερχομενη D (9.1%) ¦ 1 δε ερχομενη (1.3%) ¦ two other variants ‡ **20:16** εκρινεν $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ κεκρικει אA,C [4%] NU ¦ κεκρει B ¦ καικικρι D § **20:16** ην $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ ειη אA,B,C [4%] NU ¦ εις D ¦ — [1%]

17 Ἀπὸ δὲ τῆς Μιλήτου πέμψας εἰς Ἔφεσον
μετεκαλέσατο τοὺς πρεσβυτέρους τῆς
ἐκκλησίας. 18 Ὡς δὲ παρεγένοντο πρὸς
αὐτόν, εἶπεν αὐτοῖς· «Ὑμεῖς ἐπίστασθε
ἀπὸ πρώτης ἡμέρας* ἧς ἐπέβην εἰς τὴν
Ἀσίαν, πῶς μεθ᾽ ὑμῶν τὸν πάντα χρόνον
ἐγενόμην, 19 δουλεύων τῷ Κυρίῳ μετὰ πάσης
ταπεινοφροσύνης, καὶ πολλῶν† δακρύων
καὶ πειρασμῶν, τῶν συμβάντων‡ μοι ἐν
ταῖς ἐπιβουλαῖς τῶν Ἰουδαίων· 20 ὡς οὐδὲν
ὑπεστειλάμην τῶν συμφερόντων τοῦ μὴ
ἀναγγεῖλαι ὑμῖν καὶ διδάξαι ὑμᾶς δημοσίᾳ
καὶ κατ᾽ οἴκους, 21 διαμαρτυρόμενος§
Ἰουδαίοις τε καὶ Ἕλλησιν τὴν εἰς* Θεὸν
μετάνοιαν καὶ πίστιν τὴν† εἰς τὸν Κύριον
ἡμῶν Ἰησοῦν.‡ 22 Καὶ νῦν ἰδού, ἐγὼ δεδεμένος§
τῷ πνεύματι πορεύομαι εἰς Ἱερουσαλήμ,
τὰ ἐν αὐτῇ συναντήσοντά* μοι μὴ εἰδώς,
23 πλὴν ὅτι τὸ Πνεῦμα τὸ Ἅγιον κατὰ πόλιν

---

* **20:18** ημερας **f**$^{35}$ [20%] ¦ 1 αφ אA,B,C(D) [80%] HF,RP,OC,TR,CP,NU † **20:19** πολλων **f**$^{35}$ C [97%] HF,RP,OC,TR,CP ¦ — אA,B,D [3%] NU ‡ **20:19** συμβαντων (D) *rell* ¦ συμβαινοντων C [15%] ¦ συμβεβηκατων [1%] § **20:21** διαμαρτυρομενος *rell* ¦ διαμαρτυραμενος [30%] ¦ διαμαρτυρουμενος D [1%] * **20:21** εις **f**$^{35}$ אB,C [45%] NU ¦ 1 τον A,D [55%] HF,RP,OC,TR,CP (OC is in small print) † **20:21** την **f**$^{35}$ [96%] HF,RP,OC,TR ¦ — אA,B,C(D) [4%] CP,NU ‡ **20:21** ιησουν **f**$^{35}$ B [75%] HF,RP,NU ¦ 1 χριστον אA,C(D) [25%] OC,TR,CP (OC is in small print) § **20:22** εγω δεδεμενος **f**$^{35}$ D [95%] HF,RP,OC,TR,CP ¦ 21 אA,B,C [5%] NU * **20:22** συναντησοντα *rell* ¦ συναντησαντα A,D [30%] ¦ συμβησομενα C [2%]

διαμαρτύρεται,† λέγον‡ ὅτι δεσμά με καὶ
θλίψεις§ μένουσιν. 24 Ἀλλ᾽ οὐδενὸς λόγον*
ποιοῦμαι, οὐδὲ ἔχω† τὴν ψυχήν μου‡ τιμίαν
ἐμαυτῷ, ὡς§ τελειῶσαι τὸν δρόμον μου μετὰ
χαρᾶς,* καὶ τὴν διακονίαν ἣν ἔλαβον παρὰ τοῦ
Κυρίου Ἰησοῦ διαμαρτύρασθαι τὸ εὐαγγέλιον
τῆς χάριτος τοῦ Θεοῦ.
25 »Καὶ νῦν ἰδού, ἐγὼ οἶδα ὅτι οὐκέτι
ὄψεσθε τὸ πρόσωπόν μου ὑμεῖς πάντες ἐν
οἷς διῆλθον κηρύσσων τὴν βασιλείαν τοῦ
Θεοῦ.† 26 Διὸ‡ μαρτύρομαι ὑμῖν ἐν τῇ σήμερον
ἡμέρᾳ ὅτι καθαρὸς ἐγὼ§ ἀπὸ τοῦ αἵματος
πάντων· 27 οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ
ἀναγγεῖλαι ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ.*

---

† **20:23** διαμαρτυρεται **f**[35] [79%] HF,RP,OC,TR ¦ 1 μοι אA,B,C,D [15%] CP,NU ¦ διαμεμαρτυρηται [2%] ¦ διεμαρτυρατο μοι A [2%] ¦ three other variants [2%] ‡ **20:23** λεγον *rell* ¦ λεγων D [30%] § **20:23** με και θλιψεις **f**[35] [83%] HF,RP,OC,TR,CP ¦ 231 (א)A(B)C(D) [17%] NU * **20:24** λογον **f**[35] A,D (89.9%) HF,RP,OC,TR,CP ¦ λογου אB,C (2.9%) NU ¦ τουτων 1 (6.9%) ¦ one other variant † **20:24** ποιουμαι ουδε εχω **f**[35] (95.6%) HF,RP,OC,TR,CP ¦ 321 A(D) (2.3%) ¦ 1 אB,C (1.5%) NU ‡ **20:24** μου **f**[35] D (87%) HF,RP,OC,TR,CP ¦ — אA,B,C (13%) NU § **20:24** ως *rell* ¦ ωστε [20%] ¦ ως το C ¦ του D * **20:24** μετα χαρας **f**[35] C (97.1%) HF,RP,OC,TR,CP ¦ — אA,B,D (2.9%) NU [Observe how the attestation in ( ) fluctuates among these four variant sets, all in one verse.] † **20:25** του θεου **f**[35] [97%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [3%] NU ¦ 1 ιησου D ‡ **20:26** διο **f**[35] C [80%] HF,OC,TR ¦ διοτι אA,B [20%] RP,NU ¦ 1 και CP ¦ αχρι ουν D § **20:26** εγω **f**[35] A [94%] HF,RP,OC,TR,CP ¦ ειμι אB,C,D [5%] NU ¦ 1 ειμι [1%] * **20:27** υμιν πασαν την βουλην του θεου **f**[35] A [97%] HF,RP,OC,TR,CP ¦ 234561 אB,C(D) [3%] NU

28 Προσέχετε† οὖν‡ ἑαυτοῖς καὶ παντὶ τῷ
ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ Ἅγιον ἔθετο
ἐπισκόπους, ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ
Κυρίου καὶ Θεοῦ§ ἣν περιεποιήσατο διὰ τοῦ
ἰδίου αἵματος.* 29 Ἐγὼ γὰρ† οἶδα τοῦτο,‡
ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι
βαρεῖς εἰς ὑμᾶς, μὴ φειδόμενοι τοῦ ποιμνίου.
30 Καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες,
λαλοῦντες διεστραμμένα, τοῦ ἀποσπᾶν τοὺς
μαθητὰς ὀπίσω αὐτῶν. 31 Διὸ γρηγορεῖτε,
μνημονεύοντες ὅτι τριετίαν νύκτα καὶ ἡμέραν
οὐκ ἐπαυσάμην, μετὰ δακρύων, νουθετῶν ἕνα
ἕκαστον.

32 »Καὶ τὰ νῦν παρατίθεμαι ὑμᾶς, ἀδελφοί,§
τῷ Θεῷ καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ,
τῷ δυναμένῳ ἐποικοδομῆσαι* καὶ δοῦναι
ὑμῖν† κληρονομίαν ἐν τοῖς ἡγιασμένοις
πᾶσιν. 33 Ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ
οὐδενὸς ἐπεθύμησα. 34 Αὐτοὶ‡ γινώσκετε
ὅτι ταῖς χρείαις μου, καὶ τοῖς οὖσιν

---

† **20:28** προσεχετε *rell* ¦ προσεχεται D [15%] ‡ **20:28** ουν **f**35 C [97%] HF,RP,OC,TR,CP ¦ — אA,B,D [3%] NU § **20:28** κυριου και θεου **f**35 [89%] HF,RP,OC,CP ¦ 3 אB [7%] TR,NU ¦ 1 A,C,D [4%] * **20:28** ιδιου αιματος **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 2 του 1 אA,B,C,D [5%] NU † **20:29** εγω γαρ **f**35 (95.8%) HF,RP,OC,TR,CP ¦ 1 אA,C,D (4%) NU ¦ οτι 1 B ‡ **20:29** τουτο **f**35 (92.3%) HF,RP,OC,TR,CP ¦ — אA,B,C,D (7.7%) NU § **20:32** αδελφοι **f**35 C [96%] HF,RP,OC,TR,CP ¦ — אA,B,D [4%] NU * **20:32** εποικοδομησαι **f**35 [96%] HF,RP,OC,TR,CP ¦ οικοδομησαι אA,B,C(D) [4%] NU † **20:32** υμιν **f**35 [96%] HF,RP,OC,TR,CP ¦ την אA,B [2%] NU ¦ 1 την C [1%] ¦ — D [1%] ‡ **20:34** αυτοι **f**35 אA,B,C [85%] HF,RP,OC,CP,NU ¦ 1 δε [5%] TR ¦ 1 γαρ [10%]

μετ᾽ ἐμοῦ, ὑπηρέτησαν αἱ χεῖρες αὗται.
35 Πάντα ὑπέδειξα ὑμῖν ὅτι οὕτως κοπιῶντας
δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων,
μνημονεύειν τε τοῦ λόγου§ τοῦ Κυρίου Ἰησοῦ
ὅτι αὐτὸς εἶπεν, ‹Μακάριόν ἐστιν μᾶλλον
διδόναι* ἢ λαμβάνειν.› »
36 Καὶ ταῦτα εἰπών, θεὶς τὰ γόνατα αὐτοῦ,
σὺν πᾶσιν αὐτοῖς προσηύξατο. 37 Ἱκανὸς δὲ
κλαυθμὸς ἐγένετο† πάντων, καὶ ἐπιπεσόντες
ἐπὶ τὸν τράχηλον τοῦ Παύλου κατεφίλουν
αὐτόν, 38 ὀδυνώμενοι μάλιστα ἐπὶ τῷ λόγῳ
ᾧ εἰρήκει, ὅτι οὐκέτι μέλλουσιν τὸ πρόσωπον
αὐτοῦ θεωρεῖν. Προέπεμπον δὲ αὐτὸν εἰς τὸ
πλοῖον.‡

# 21

*Paul is warned—AGAIN*
1 Ὡς δὲ ἐγένετο ἀναχθῆναι ἡμᾶς
ἀποσπασθέντας ἀπ᾽ αὐτῶν, εὐθυδρομήσαντες
ἤλθομεν εἰς τὴν Κῶ,* τῇ δὲ ἑξῆς εἰς τὴν
Ῥόδον, κἀκεῖθεν εἰς Πάταρα. 2 Καὶ εὑρόντες
πλοῖον διαπερῶν† εἰς Φοινίκην, ἐπιβάντες
ἀνήχθημεν. 3 Ἀναφανέντες‡ δὲ τὴν Κύπρον καὶ

---

§ **20:35** του λογου **f**35 [22%] ¦ των λογων אA,B,C,D [23%] HF,RP,TR,NU ¦ τον λογον [55%] OC,CP * **20:35** μαλλον διδοναι *rell* ¦ 21 [8%] TR † **20:37** κλαυθμος εγενετο **f**35 אA,B,C,D [20%] NU ¦ 21 [80%] HF,RP,OC,TR,CP ‡ **20:38** CP omits the last sentence. * **21:1** κω **f**35 אA,B,C,D [50%] OC,CP,NU ¦ κων [50%] HF,RP,TR † **21:2** διαπερων *rell* ¦ διαπερον [10%] CP ¦ two other variants ‡ **21:3** αναφανεντες **f**35 A,C [92%] HF,RP,OC,CP ¦ αναφαναντες אB [8%] TR,NU

καταλιπόντες§ αὐτὴν εὐώνυμον, ἐπλέομεν
εἰς Συρίαν καὶ κατήχθημεν* εἰς Τύρον,
ἐκεῖσε γὰρ ἦν τὸ πλοῖον† ἀποφορτιζόμενον
τὸν γόμον. 4 Καὶ ἀνευρόντες‡ μαθητάς,
ἐπεμείναμεν αὐτοῦ ἡμέρας ἑπτά· οἵτινες
τῷ Παύλῳ ἔλεγον διὰ τοῦ Πνεύματος
μὴ ἀναβαίνειν§ εἰς Ἱερουσαλήμ.* 5 Ὅτε
δὲ ἐγένετο ἡμᾶς ἐξαρτίσαι τὰς ἡμέρας,
ἐξελθόντες ἐπορευόμεθα, προπεμπόντων ἡμᾶς
πάντων, σὺν γυναιξὶν καὶ τέκνοις, ἕως ἔξω
τῆς πόλεως, καὶ θέντες τὰ γόνατα ἐπὶ τὸν
αἰγιαλὸν προσηυξάμεθα.† 6 Καὶ ἀσπασάμενοι
ἀλλήλους,‡ ἐπέβημεν§ εἰς τὸ πλοῖον, ἐκεῖνοι
δὲ ὑπέστρεψαν εἰς τὰ ἴδια.
7 Ἡμεῖς δὲ τὸν πλοῦν διανύσαντες ἀπὸ
Τύρου, κατηντήσαμεν εἰς Πτολεμαΐδα· καὶ
ἀσπασάμενοι τοὺς ἀδελφοὺς ἐμείναμεν
ἡμέραν μίαν παρ᾽ αὐτοῖς. 8 Τῇ δὲ ἐπαύριον

---

§ **21:3** καταλιποντες *rell* ¦ καταλειποντες A [15%] * **21:3** κατηχθημεν **f**[35] C [87%] HF,RP,OC,TR,CP ¦ κατηλθομεν אA,B [3%] NU ¦ — [10%] † **21:3** ην το πλοιον **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ 231 אA,B,C [5%] NU ‡ **21:4** και ανευροντες **f**[35] [90%] HF,RP,CP ¦ 12 τους [1%] OC,TR ¦ 2 δε τους אA,B,C [4%] NU ¦ 1 ευροντες [5%] (OC is in small print) § **21:4** αναβαινειν **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ επιβαινειν (א)A,B,C [2%] NU * **21:4** ιερουσαλημ **f**[35] [95%] HF,RP,TR,CP ¦ ιεροσολυμα אA,B,C [5%] OC,NU † **21:5** προσηυξαμεθα **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ προσευξαμενοι אA,B,C [5%] NU ‡ **21:6** και ασπασαμενοι αλληλους **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ απησπασαμεθα 31 א(A)B(C) [4%] NU § **21:6** επεβημεν **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ ανεβημεν אA,C [4%] NU ¦ ενεβημεν B [3%] ¦ one other variant

ἐξελθόντες, ἤλθομεν* εἰς Καισάρειαν· καὶ εἰσελθόντες εἰς τὸν οἶκον Φιλίππου τοῦ εὐαγγελιστοῦ† (ὄντος ἐκ τῶν ἑπτά), ἐμείναμεν παρ᾽ αὐτῷ.
9 (Τούτῳ δὲ ἦσαν θυγατέρες παρθένοι τέσσαρες‡ προφητεύουσαι.)

### *Agabus*

10 Ἐπιμενόντων δὲ ἡμῶν§ ἡμέρας πλείους, κατῆλθέν τις ἀπὸ τῆς Ἰουδαίας προφήτης ὀνόματι Ἄγαβος.
11 Καὶ ἐλθὼν πρὸς ἡμᾶς καὶ ἄρας τὴν ζώνην τοῦ Παύλου, δήσας

---

* **21:8** ηλθομεν **f**35 אA(B)C (38.8%) OC,CP,NU ¦ οι περι τον παυλον ηλθον (46.4%) HF,RP,TR ¦ οι περι τον παυλον ηλθομεν (13.3%) ¦ οι αποστολοι (απο τυρου) ηλθον (1.1%) ¦ one other reading (0.4%) The third variant would appear to be a not very felicitous conflation. The first variant best fits the context—since the beginning of the chapter, and before, the main participants have been presented in the first person plural. The closest finite verb on each side of the variant in question is εμειναμεν, 1st plural. The information in the second variant is unnecessary but not objectionable; if it were original there would be no need to change it. Of course, if the first variant were original there would be no need to change it either, unless some felt it was time to remind the reader who "we" was referring to. More likely it was the influence of the Lectionaries, since they have precisely the second variant (while all three ancient versions have the first one). † **21:8** ευαγγελιστου *rell* ¦ 1 του [5%] TR ‡ **21:9** θυγατερες παρθενοι τεσσαρες **f**35 [94%] HF,RP,OC,TR,CP ¦ 132 אA,B [5%] NU ¦ 213 C ¦ one other variant § **21:10** ημων **f**35 (84.6%) HF,RP,OC,TR,CP ¦ — A,B,C (14.4%) NU ¦ αυτων א (0.4%) ¦ two other variants (0.6%)

τε αὐτοῦ* τοὺς πόδας καὶ τὰς χεῖρας†
εἶπεν, «Τάδε λέγει τὸ Πνεῦμα τὸ Ἅγιον·
‹Τὸν ἄνδρα οὗ ἐστιν ἡ ζώνη αὕτη οὕτως
δήσουσιν ἐν‡ Ἱερουσαλὴμ οἱ Ἰουδαῖοι, καὶ
παραδώσουσιν εἰς χεῖρας ἐθνῶν.› » 12 Ὡς δὲ
ἠκούσαμεν ταῦτα, παρεκαλοῦμεν, ἡμεῖς τε
καὶ οἱ ἐντόπιοι, τοῦ μὴ ἀναβαίνειν αὐτὸν εἰς
Ἱερουσαλήμ. 13 Ἀπεκρίθη τε§ ὁ Παῦλος· «Τί
ποιεῖτε, κλαίοντες καὶ συνθρύπτοντές μου τὴν
καρδίαν; Ἐγὼ γὰρ οὐ μόνον δεθῆναι, ἀλλὰ
καὶ ἀποθανεῖν εἰς Ἱερουσαλὴμ, ἑτοίμως ἔχω*
ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου Ἰησοῦ.» 14 Μὴ
πειθομένου δὲ αὐτοῦ, ἡσυχάσαμεν εἰπόντες,
«Τὸ θέλημα τοῦ Κυρίου† γενέσθω.»‡

### *Jerusalem*

15 Μετὰ δὲ τὰς ἡμέρας ταύτας
ἐπισκευασάμενοι§ ἀνεβαίνομεν εἰς
Ἱερουσαλήμ.* 16 Συνῆλθον δὲ καὶ τῶν

---

* **21:11** τε αυτου **f**[35] [89%] HF,RP,OC,TR,CP ¦ εαυτου ℵA,B,C,D [10%] NU ¦ 2 [1%] † **21:11** τους ποδας και τας χειρας **f**[35] ℵB,C,D [85%] HF,RP,OC,CP,NU ¦ 45312 A [15%] TR ‡ **21:11** εν *rell* ¦ εις D [1%] OC § **21:13** απεκριθη τε **f**[35] [92%] HF,RP,OC,CP ¦ 1 δε [5%] TR ¦ τοτε 1 ℵA,B [2%] NU ¦ τοτε 1 δε C [1%] ¦ D is wild * **21:13** εις ιερουσαλημ ετοιμως εχω *rell* ¦ 3412 A [5%] CP † **21:14** το θελημα του κυριου **f**[35] D [96%] HF,RP,OC,TR,CP ¦ 3412 ℵA,B,C [4%] NU ‡ **21:14** γενεσθω **f**[35] [73%] HF,RP,TR,CP ¦ γινεσθω C [25%] OC,NU ¦ γεινεσθω ℵA,B,D [2%] § **21:15** επισκευασαμενοι **f**[35] A,B [90%] HF,RP,OC,CP,NU ¦ επισκευασαμενον ℵ ¦ αποσκευασαμενοι [5%] TR ¦ παρασκευασαμενοι C [2%] ¦ αποταξαμενοι D ¦ two other variants * **21:15** ιερουσαλημ **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ ιεροσολυμα ℵA,B,C [7%] NU

μαθητῶν ἀπὸ Καισαρείας σὺν ἡμῖν, ἄγοντες†
παρ᾽ ᾧ ξενισθῶμεν, Μνάσωνί τινι Κυπρίῳ,
ἀρχαίῳ μαθητῇ. 17 Γενομένων δὲ ἡμῶν
εἰς Ἱεροσόλυμα, ἀσμένως ἐδέξαντο‡ ἡμᾶς
οἱ ἀδελφοί. 18 Τῇ δὲ ἐπιούσῃ εἰσῄει ὁ
Παῦλος, σὺν ἡμῖν, πρὸς Ἰάκωβον, πάντες
τε παρεγένοντο οἱ πρεσβύτεροι. 19 Καὶ
ἀσπασάμενος αὐτούς, ἐξηγεῖτο καθ᾽ ἓν
ἕκαστον ὧν ἐποίησεν ὁ Θεὸς ἐν τοῖς ἔθνεσιν
διὰ τῆς διακονίας αὐτοῦ.

### *Paul submits to a false agenda*

20 Οἱ δὲ ἀκούσαντες§ ἐδόξαζον τὸν
Κύριον,* εἰπόντες† αὐτῷ· «Θεωρεῖς, ἀδελφέ,
πόσαι μυριάδες εἰσὶν Ἰουδαίων‡ τῶν
πεπιστευκότων, καὶ πάντες ζηλωταὶ τοῦ
νόμου ὑπάρχουσιν· 21 κατηχήθησαν δὲ περὶ
σοῦ ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ Μωϋσέος§
τοὺς κατὰ τὰ ἔθνη πάντας Ἰουδαίους, λέγων
μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα μηδὲ τοῖς
ἔθεσιν* περιπατεῖν. 22 Τί οὖν ἐστιν; Πάντως

† **21:16** αγοντες *rell* ¦ αγαγοντες CP ‡ **21:17** εδεξαντο **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ απεδεξαντο אA,B,C [5%] NU § **21:20** ακουσαντες *rell* ¦ ακουοντες [23%] * **21:20** κυριον **f**$^{35}$ D [70%] HF,RP,OC,TR ¦ θεον אA,B,C [30%] CP,NU † **21:20** ειποντες **f**$^{35}$ C,D [60%] HF,RP ¦ ειπον τε A,B [37%] OC,TR,CP,NU ¦ ειπαν τε א [2%] ¦ two other variants ‡ **21:20** ιουδαιων **f**$^{35}$ (88.1%) HF,RP,OC,TR,CP ¦ εν τοις ιουδαιοις A,B,C (6.9%) NU ¦ — א (2.1%) ¦ των 1 (1.9%) ¦ ιουδαιοι (0.8%) ¦ εν τη ιουδαια D § **21:21** μωυσεος **f**$^{35}$ [25%] ¦ μωυσεως אB,C [45%] HF,RP,OC,NU ¦ μωσεως A,D [30%] TR,CP * **21:21** εθεσιν *rell* ¦ εθνεσιν D [15%]

δεῖ πλῆθος συνελθεῖν·† ἀκούσονται γὰρ‡ ὅτι
ἐλήλυθας. 23 Τοῦτο οὖν ποίησον ὅ σοι λέγομεν·
Εἰσὶν ἡμῖν ἄνδρες τέσσαρες εὐχὴν ἔχοντες
ἐφ᾽ ἑαυτῶν. 24 Τούτους παραλαβὼν ἁγνίσθητι
σὺν αὐτοῖς, καὶ δαπάνησον§ ἐπ᾽ αὐτοῖς
ἵνα ξυρήσωνται* τὴν κεφαλήν, καὶ γνῶσιν†
πάντες ὅτι ὧν κατήχηνται περὶ σοῦ οὐδέν
ἐστιν· ἀλλὰ στοιχεῖς καὶ αὐτὸς τὸν νόμον
φυλάσσων.‡ 25 Περὶ δὲ τῶν πεπιστευκότων
ἐθνῶν ἡμεῖς ἐπεστείλαμεν, κρίναντες μηδὲν
τοιοῦτον τηρεῖν αὐτούς, εἰ μὴ§ φυλάσσεσθαι
αὐτοὺς τό τε εἰδωλόθυτον καὶ τὸ* αἷμα καὶ
πνικτὸν καὶ πορνείαν.»

### *Paul arrested*

26 Τότε ὁ Παῦλος παραλαβὼν† τοὺς ἄνδρας,
τῇ ἐχομένῃ ἡμέρᾳ σὺν αὐτοῖς ἁγνισθεὶς εἰσῄει
εἰς τὸ ἱερόν, διαγγέλλων‡ τὴν ἐκπλήρωσιν
τῶν ἡμερῶν τοῦ ἁγνισμοῦ, ἕως οὗ προσηνέχθη

---

† **21:22** δει πληθος συνελθειν **f**35 D [94%] HF,RP,OC,TR,CP ¦ 132 אA [4%] ¦ — B,C [2%] NU ‡ **21:22** γαρ **f**35 A,D [96%] HF,RP,OC,TR,CP ¦ — (א)B,C [4%] NU § **21:24** δαπανησον *rell* ¦ δαπανισον [14%] * **21:24** ξυρησωνται **f**35 A,C [62%] HF,RP,OC,TR,CP ¦ ξυρησονται אB [18%] NU ¦ ξυρισωνται [18%] ¦ ξυρισονται [2%] ¦ ξυρωνται D † **21:24** γνωσιν **f**35 [95%] HF,RP,OC,TR,CP ¦ γνωσονται אA,B,C,D [5%] NU ‡ **21:24** τον νομον φυλασσων **f**35 [90%] HF,RP,OC,TR,CP ¦ 312 אA,B,C,D [10%] NU § **21:25** μηδεν τοιουτον (τοιουτο C 5.5% RP,HF) τηρειν αυτους ει μη (αλλα 4.6%) **f**35 (C)D (97.9%) (HF,RP)OC,TR,CP ¦ — אA,B (2.1%) NU * **21:25** το **f**35 [96%] HF,RP,OC,TR,CP ¦ — אA,B,C,D [4%] NU † **21:26** ο παυλος παραλαβων *rell* ¦ 312 [32%] ¦ 23 D [5%] ‡ **21:26** διαγγελλων *rell* ¦ διαγγελων [25%] CP

ὑπὲρ ἑνὸς ἑκάστου αὐτῶν ἡ προσφορά. 27 Ὡς
δὲ ἤμελλον§ αἱ ἑπτὰ ἡμέραι συντελεῖσθαι, οἱ
ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι, θεασάμενοι αὐτὸν
ἐν τῷ ἱερῷ, συνέχεον πάντα τὸν ὄχλον καὶ
ἐπέβαλον ἐπ᾽ αὐτὸν τὰς χεῖρας,* 28 κράζοντες·
«Ἄνδρες Ἰσραηλῖται, βοηθεῖτε. Οὗτός ἐστιν
ὁ ἄνθρωπος ὁ κατὰ τοῦ λαοῦ καὶ τοῦ νόμου
καὶ τοῦ τόπου τούτου πάντας πανταχοῦ†
διδάσκων. Ἔτι τε καὶ Ἕλληνας εἰσήγαγεν
εἰς τὸ ἱερὸν καὶ κεκοίνωκεν‡ τὸν ἅγιον
τόπον τοῦτον.» 29 (Ἦσαν γὰρ ἑωρακότες§
Τρόφιμον* τὸν Ἐφέσιον ἐν τῇ πόλει σὺν αὐτῷ,
ὃν ἐνόμιζον ὅτι εἰς τὸ ἱερὸν εἰσήγαγεν ὁ
Παῦλος.)

30 Ἐκινήθη τε ἡ πόλις ὅλη καὶ ἐγένετο
συνδρομὴ τοῦ λαοῦ. Καὶ ἐπιλαβόμενοι τοῦ
Παύλου εἷλκον αὐτὸν ἔξω τοῦ ἱεροῦ, καὶ
εὐθέως ἐκλείσθησαν αἱ θύραι. 31 Ζητούντων
δὲ† αὐτὸν ἀποκτεῖναι, ἀνέβη φάσις τῷ
χιλιάρχῳ τῆς σπείρας‡ ὅτι ὅλη συγκέχυται§

---

§ **21:27** ημελλον **f**$^{35}$ [33%] ¦ εμελλον אA,B,C [60%] HF,RP,OC,TR,CP,NU ¦ εμελλων [7%] ¦ D is wild * **21:27** επ αυτον τας χειρας **f**$^{35}$ אA,B,C,D [75%] NU ¦ 3412 [25%] HF,RP,OC,TR,CP † **21:28** πανταχου **f**$^{35}$ [90%] HF,RP,OC,TR,CP ¦ πανταχη אA,B,C,D [10%] NU ¦ one other variant ‡ **21:28** κεκοινωκεν *rell* ¦ κεκοινωνηκεν (א) [20%] ¦ εκοινωνησεν D § **21:29** εωρακοτες **f**$^{35}$ [85%] HF,RP,OC,CP ¦ προεωρακοτες אA,B,C,D [10%] TR,NU ¦ εορακατες [5%] * **21:29** τροφιμον *rell* ¦ τροφημον [18%] † **21:31** δε **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ τε אA,B [3%] NU ¦ και D ‡ **21:31** σπειρας **f**$^{35}$ [30%] ¦ σπειρης (א)A,B,D [70%] HF,RP,OC,TR,CP,NU § **21:31** συγκεχυται **f**$^{35}$ [98%] HF,RP,OC,TR,CP ¦ συγχυννεται (אA)B(D) [2%] NU ¦ two other variants

Ἱερουσαλήμ· 32 ὃς ἐξαυτῆς παραλαβὼν
στρατιώτας καὶ ἑκατοντάρχους,* κατέδραμεν
ἐπ᾽ αὐτούς· οἱ δέ, ἰδόντες τὸν χιλίαρχον
καὶ τοὺς στρατιώτας, ἐπαύσαντο τύπτοντες
τὸν Παῦλον. 33 Ἐγγίσας δὲ† ὁ χιλίαρχος
ἐπελάβετο αὐτοῦ, καὶ ἐκέλευσεν δεθῆναι
ἁλύσεσιν δυσίν, καὶ ἐπυνθάνετο τίς ἂν‡ εἴη
καὶ τί ἐστιν πεποιηκώς. 34 Ἄλλοι δὲ ἄλλο τι
ἐβόων§ ἐν τῷ ὄχλῳ· μὴ δυνάμενος δὲ* γνῶναι
τὸ ἀσφαλές, διὰ τὸν θόρυβον, ἐκέλευσεν
ἄγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν. 35 Ὅτε
δὲ ἐγένετο ἐπὶ τοὺς ἀναβαθμούς, συνέβη
βαστάζεσθαι αὐτὸν ὑπὸ τῶν στρατιωτῶν, διὰ
τὴν βίαν τοῦ ὄχλου. 36 Ἠκολούθει† γὰρ τὸ
πλῆθος τοῦ λαοῦ κράζον,‡ «Αἶρε αὐτόν.»

37 Μέλλων δὲ§ εἰς τὴν παρεμβολὴν
εἰσάγεσθαι,* ὁ Παῦλος λέγει τῷ χιλιάρχῳ,
«Εἰ ἔξεστίν μοι εἰπεῖν† πρός σε;» Ὁ δὲ
ἔφη· «Ἑλληνιστὶ γινώσκεις; 38 Οὐκ ἄρα σὺ

---

* **21:32** εκατονταρχους **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ εκατονταρχας אA,B,D [3%] NU ¦ εκατονταρχην [1%] † **21:33** εγγισας δε **f**$^{35}$ [92%] HF,RP,OC,CP ¦ τοτε 1 אA,B,D [8%] TR,NU ‡ **21:33** αν **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ — אA,B,D [4%] NU § **21:34** εβοων **f**$^{35}$ [77%] HF,RP,OC,TR,CP ¦ εβοουν [15%] ¦ επεφωνουν אA,B,D [6%] NU ¦ επιβοων [2%] * **21:34** δυναμενος δε **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ δυναμενου 2 αυτου אA,B(D) [4%] NU † **21:36** ηκολουθει *rell* ¦ ηκολουθη [30%] ¦ ηκολουθι אD [1%] ‡ **21:36** κραζον **f**$^{35}$ D [78%] HF,RP,OC,TR,CP ¦ κραζοντες אA,B [5%] NU ¦ κραζων [17%] § **21:37** δε **f**$^{35}$ [40%] ¦ τε אA,B,D [58%] HF,RP,OC,TR,CP,NU ¦ — [2%] * **21:37** εις την παρεμβολην εισαγεσθαι **f**$^{35}$ [20%] ¦ 4123 אA,B,D [80%] HF,RP,OC,TR,CP,NU † **21:37** ειπειν **f**$^{35}$ [80%] HF,RP,CP ¦ 1 τι אA,B [20%] OC,TR,NU ¦ λαλησαι D

εἶ ὁ Αἰγύπτιος ὁ πρὸ τούτων τῶν ἡμερῶν
ἀναστατώσας καὶ ἐξαγαγὼν εἰς τὴν ἔρημον
τοὺς τετρακισχιλίους ἄνδρας τῶν Σικαρίων;»
39 Εἶπεν δὲ ὁ Παῦλος, «Ἐγὼ ἄνθρωπος μέν εἰμι
Ἰουδαῖος, Ταρσεὺς τῆς Κιλικίας, οὐκ ἀσήμου‡
πόλεως πολίτης· δέομαι δέ§ σου, ἐπίτρεψόν
μοι λαλῆσαι πρὸς τὸν λαόν.» 40 Ἐπιτρέψαντος
δὲ αὐτοῦ, ὁ Παῦλος ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν
κατέσεισεν τῇ χειρὶ τῷ λαῷ· πολλῆς δὲ σιγῆς
γενομένης, προσεφώνει* τῇ Ἑβραΐδι διαλέκτῳ
λέγων·

# 22

## *Paul addresses the mob*

1 «Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατέ
μου τῆς πρὸς ὑμᾶς νυνὶ* ἀπολογίας.»
2 Ἀκούσαντες δὲ ὅτι τῇ Ἑβραΐδι διαλέκτῳ
προσεφώνει† αὐτοῖς, μᾶλλον παρέσχον
ἡσυχίαν. Καί φησιν· 3 «Ἐγὼ μέν‡ εἰμι
ἀνὴρ Ἰουδαῖος, γεγεννημένος§ ἐν Ταρσῷ
τῆς Κιλικίας, ἀνατεθραμμένος δὲ ἐν τῇ
πόλει ταύτῃ παρὰ τοὺς πόδας Γαμαλιήλ,
πεπαιδευμένος κατὰ* ἀκρίβειαν τοῦ πατρῴου

---

‡ **21:39** ασημου *rell* ¦ ασιμου [35%] ¦ — D § **21:39** δε *rell* ¦ — [20%] * **21:40** προσεφωνει **f**$^{35}$ [40%] RP ¦ προσεφωνησεν אA,B,D [60%] HF,OC,TR,CP,NU * **22:1** νυνι **f**$^{35}$ אA,B(D) [95%] HF,RP,OC,CP,NU ¦ νυν [5%] TR † **22:2** προσεφωνει *rell* ¦ προσφωνει D [40%] ¦ προσεφωνησεν [3%] ¦ προσφωνησεν [3%] ‡ **22:3** μεν **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ — אA,B,D [4%] NU § **22:3** γεγεννημενος (D) *rell* ¦ γεγενημενος [25%] * **22:3** κατα *rell* ¦ δε 1 [40%]

νόμου, ζηλωτὴς ὑπάρχων τοῦ Θεοῦ, καθὼς
πάντες ὑμεῖς ἐστε σήμερον· 4 ὃς ταύτην
τὴν Ὁδὸν ἐδίωξα ἄχρι θανάτου, δεσμεύων
καὶ παραδιδοὺς εἰς φυλακὰς ἄνδρας τε καὶ
γυναῖκας, 5 ὡς καὶ† ὁ ἀρχιερεὺς μαρτυρεῖ
μοι‡ καὶ πᾶν τὸ πρεσβυτέριον·§ παρʼ ὧν καὶ
ἐπιστολὰς δεξάμενος πρὸς τοὺς ἀδελφοὺς
εἰς Δαμασκὸν ἐπορευόμην, ἄξων καὶ τοὺς
ἐκεῖσε ὄντας δεδεμένους εἰς Ἱερουσαλήμ, ἵνα
τιμωρηθῶσιν. 6 Ἐγένετο δέ μοι πορευομένῳ
καὶ ἐγγίζοντι* τῇ Δαμασκῷ, περὶ μεσημβρίαν,
ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ περιαστράψαι φῶς
ἱκανὸν περὶ ἐμέ. 7 Ἔπεσόν† τε εἰς τὸ ἔδαφος
καὶ ἤκουσα φωνῆς λεγούσης μοι, ‹Σαούλ,
Σαούλ, τί με διώκεις;› 8 Ἐγὼ δὲ ἀπεκρίθην,
‹Τίς εἶ, Κύριε;› Εἶπέν τε πρός με, ‹Ἐγώ εἰμι
Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις.› 9 Οἱ
δὲ σὺν ἐμοὶ ὄντες τὸ μὲν φῶς ἐθεάσαντο,
καὶ ἔμφοβοι ἐγένοντο·‡ τὴν δὲ φωνὴν§ οὐκ
ἤκουσαν τοῦ λαλοῦντός μοι. 10 Εἶπον δέ, ‹Τί
ποιήσω, Κύριε;› Ὁ δὲ Κύριος εἶπεν πρός με,
‹Ἀναστὰς πορεύου εἰς Δαμασκόν, κἀκεῖ σοι
λαληθήσεται περὶ πάντων ὧν τέτακταί* σοι

---

† **22:5** και *rell* ¦ — CP ‡ **22:5** μαρτυρει μοι *rell* ¦ 21 CP § **22:5** πρεσβυτεριον *rell* ¦ πρεσβυτερειον B [25%] * **22:6** εγγιζοντι *rell* ¦ εγγυζοντι CP † **22:7** επεσον **f**[35] (D) [45%] OC,TR,CP ¦ επεσα ℵA,B [50%] HF,RP,NU ¦ three other variants [5%] ‡ **22:9** και εμφοβοι εγενοντο **f**[35] D (88.2%) HF,RP,OC,TR,CP ¦ 12 γενομενοι (1.5%) ¦ — (ℵ)A,B (10.3%) NU § **22:9** δε φωνην *rell* ¦ 21 CP * **22:10** περι παντων ων τετακται (B) *rell* ¦ τι σε δει [16%] ¦ τι σε εδει [5%] ¦ τις σε δει [5%] ¦ σοι δει [5%]

ποιῆσαι.› 11 Ὡς δὲ οὐκ ἐνέβλεπον ἀπὸ τῆς
δόξης τοῦ φωτὸς ἐκείνου, χειραγωγούμενος
ὑπὸ τῶν συνόντων μοι, ἦλθον εἰς Δαμασκόν.
12 Ἀνανίας δέ τις, ἀνὴρ εὐσεβὴς† κατὰ
τὸν νόμον, μαρτυρούμενος ὑπὸ πάντων
τῶν κατοικούντων ἐν Δαμασκῷ‡ Ἰουδαίων,
13 ἐλθὼν πρός με καὶ ἐπιστὰς εἶπέν μοι, ‹Σαοὺλ
ἀδελφέ, ἀνάβλεψον.› Κἀγὼ αὐτῇ τῇ ὥρᾳ
ἀνέβλεψα εἰς αὐτόν. 14 Ὁ δὲ εἶπεν· ‹Ὁ Θεὸς
τῶν πατέρων ἡμῶν προεχειρίσατό§ σε γνῶναι
τὸ θέλημα αὐτοῦ, καὶ ἰδεῖν τὸν Δίκαιον, καὶ
ἀκοῦσαι φωνὴν ἐκ τοῦ στόματος αὐτοῦ. 15 Ὅτι
ἔσῃ μάρτυς αὐτῷ πρὸς πάντας ἀνθρώπους
ὧν ἑώρακας καὶ ἤκουσας. 16 Καὶ νῦν τί
μέλλεις; Ἀναστάς, βάπτισαι καὶ ἀπόλουσαι
τὰς ἁμαρτίας σου, ἐπικαλεσάμενος τὸ ὄνομα
τοῦ Κυρίου.›*

17 »Ἐγένετο δέ μοι ὑποστρέψαντι εἰς
Ἱερουσαλὴμ καὶ προσευχομένου μου ἐν τῷ
ἱερῷ, γενέσθαι με ἐν ἐκστάσει 18 καὶ ἰδεῖν
αὐτὸν λέγοντά μοι, ‹Σπεῦσον καὶ ἔξελθε ἐν
τάχει ἐξ Ἱερουσαλήμ, διότι οὐ παραδέξονταί
σου τὴν† μαρτυρίαν περὶ ἐμοῦ.› 19 Κἀγὼ
εἶπον· ‹Κύριε, αὐτοὶ ἐπίστανται ὅτι ἐγὼ ἤμην

---

† **22:12** ευσεβης **f**$^{35}$ [44%] RP,OC,TR ¦ ευσεβεις [5%] ¦ ευλαβης ℵB [50%] HF,CP,NU ¦ — A [1%] ‡ **22:12** εν δαμασκω **f**$^{35}$ [75%] HF,OC,CP ¦ — ℵA,B [25%] RP,TR,NU (OC is in small print) § **22:14** προεχειρισατο *rell* ¦ προεχειρησατο A [12%] ¦ two other variants * **22:16** του κυριου **f**$^{35}$ [79%] HF,RP,OC,TR,CP ¦ αυτου ℵA,B [6%] NU ¦ 2 [15%] † **22:18** την **f**$^{35}$ [96%] HF,RP,OC,TR,CP ¦ — ℵA,B [4%] NU

φυλακίζων καὶ δαίρων‡ κατὰ τὰς συναγωγὰς
τοὺς πιστεύοντας εἰς§ σέ· 20 καὶ ὅτε ἐξεχεῖτο*
τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός† σου, καὶ
αὐτὸς ἤμην ἐφεστὼς καὶ συνευδοκῶν τῇ
ἀναιρέσει αὐτοῦ,‡ καὶ§ φυλάσσων τὰ ἱμάτια
τῶν ἀναιρούντων αὐτόν.› 21 Καὶ εἶπεν πρός
με, ‹Πορεύου, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν
ἐξαποστελῶ σε.› »

### *A Roman citizen*

22 Ἤκουον δὲ αὐτοῦ ἄχρι τούτου τοῦ λόγου,
καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν λέγοντες,
«Αἶρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον, οὐ γὰρ
καθῆκεν* αὐτὸν ζῆν.» 23 Κραυγαζόντων†
δὲ‡ αὐτῶν καὶ ῥιπτούντων§ τὰ ἱμάτια,
καὶ κονιορτὸν βαλλόντων εἰς τὸν ἀέρα,
24 ἐκέλευσεν ὁ χιλίαρχος ἄγεσθαι αὐτὸν*

---

‡ **22:19** δαιρων **f**35 [25%] CP ¦ δερων אA,B [75%] HF,RP,OC,TR,NU § **22:19** εις **f**35 [20%] ¦ επι אA,B [80%] HF,RP,OC,TR,CP,NU * **22:20** εξεχειτο **f**35 [92%] HF,RP,OC,TR,CP ¦ εξεχυννετο אA,B [1%] NU ¦ εξεχυνετο [2%] ¦ at least five further spellings [5%] † **22:20** μαρτυρος *rell* ¦ πρωτομαρτυρος [10%] CP ‡ **22:20** τη αναιρεσει αυτου **f**35 (97.7%) HF,RP,OC,TR,CP ¦ — אA,B (2.3%) NU § **22:20** και **f**35 אA,B,D [25%] OC,TR,NU ¦ — [75%] HF,RP,CP * **22:22** καθηκεν *rell* ¦ καθηκον [20%] TR ¦ καθηκει [2%] † **22:23** κραυγαζοντων **f**35 אA,B,D [82%] OC,TR,NU ¦ κραζοντων C [16%] HF,RP,CP ¦ three other variants [2%] ‡ **22:23** δε **f**35 אD [99%] HF,RP,OC,TR,CP ¦ τε A,B,C [1%] NU § **22:23** ριπτουντων (B) *rell* ¦ ριπτοντων (D) [30%] OC ¦ two other variants * **22:24** ο χιλιαρχος αγεσθαι αυτον **f**35 [20%] ¦ 4123 [74%] HF,RP,OC,TR,CP ¦ 12 εισαγεσθαι 4 אA(B)C(D) [6%] NU

εἰς τὴν παρεμβολήν, εἰπὼν† μάστιξιν ἀνετάζεσθαι αὐτόν, ἵνα ἐπιγνῷ δι᾽ ἣν αἰτίαν οὕτως ἐπεφώνουν αὐτῷ.
25 Ὡς δὲ προέτειναν‡ αὐτὸν τοῖς ἱμᾶσιν, εἶπεν πρὸς τὸν ἑστῶτα ἑκατόνταρχον ὁ Παῦλος, «Εἰ ἄνθρωπον Ῥωμαῖον καὶ ἀκατάκριτον ἔξεστιν ὑμῖν μαστίζειν;»
26 Ἀκούσας δὲ ὁ ἑκατόνταρχος,§ προσελθὼν τῷ χιλιάρχῳ ἀπήγγειλεν* λέγων, «Ὅρα† τί μέλλεις ποιεῖν, ὁ γὰρ ἄνθρωπος οὗτος Ῥωμαῖός ἐστιν.»
27 Προσελθὼν δὲ ὁ χιλίαρχος εἶπεν αὐτῷ, «Λέγε μοι, εἰ‡ σὺ Ῥωμαῖος εἶ;» Ὁ δὲ ἔφη, «Ναί.»
28 Ἀπεκρίθη τε§ ὁ χιλίαρχος, «Ἐγὼ πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην.» Ὁ δὲ Παῦλος ἔφη, «Ἐγὼ δὲ καὶ γεγέννημαι.»*
29 Εὐθέως οὖν ἀπέστησαν ἀπ᾽ αὐτοῦ οἱ μέλλοντες αὐτὸν ἀνετάζειν· καὶ ὁ χιλίαρχος δὲ† ἐφοβήθη, ἐπιγνοὺς ὅτι Ῥωμαῖός ἐστιν καὶ ὅτι ἦν αὐτὸν‡

---

† **22:24** ειπων **f**[35] [95%] HF,RP,OC,TR,CP ¦ ειπας אA,B,C,D [4%] NU ¦ ειπε δε [1%] ‡ **22:25** προετειναν **f**[35] (א)B [30%] OC,CP,NU ¦ προετεινεν [30%] HF,RP,TR ¦ προσετινεν [27%] ¦ προσετειναν C(D) [3%] ¦ προετεινον A [5%] ¦ three other variants [5%] § **22:26** εκατονταρχος **f**[35] B [98%] HF,RP,OC,TR,CP ¦ εκατονταρχης אA,C,D [2%] NU * **22:26** τω χιλιαρχω απηγγειλεν **f**[35] (א)A(B)C(D) [20%] NU ¦ 312 [73%] HF,RP,OC,TR,CP ¦ 12 ανηγγειλεν [2%] ¦ ανηγγειλεν 12 [5%] † **22:26** ορα **f**[35] D [95%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [5%] NU ‡ **22:27** ει **f**[35] [65%] HF,RP,OC,TR ¦ — אA,B,C,D [35%] CP,NU § **22:28** τε **f**[35] [80%] HF,RP,OC,TR,CP ¦ δε אB,C [13%] NU ¦ — A [7%] ¦ και (D) * **22:28** γεγεννημαι *rell* ¦ γεγενημαι A [18%] ¦ γεγεννημε C [2%] † **22:29** δε *rell* ¦ — א [2%] CP ‡ **22:29** ην αυτον **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ 21 אA,B,C [4%] NU

δεδεκώς.

*The Sanhedrin*

30 Τῇ δὲ ἐπαύριον, βουλόμενος γνῶναι
τὸ ἀσφαλὲς τὸ τί κατηγορεῖται ὑπὸ§ τῶν
Ἰουδαίων, ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν* καὶ
ἐκέλευσεν ἐλθεῖν† τοὺς ἀρχιερεῖς καὶ πᾶν‡
τὸ συνέδριον αὐτῶν,§ καὶ καταγαγὼν τὸν
Παῦλον ἔστησεν εἰς αὐτούς.

# 23

1 Ἀτενίσας δὲ ὁ Παῦλος τῷ συνεδρίῳ*
εἶπεν, «Ἄνδρες ἀδελφοί, ἐγὼ πάσῃ συνειδήσει
ἀγαθῇ πεπολίτευμαι τῷ Θεῷ ἄχρι ταύτης τῆς
ἡμέρας.» 2 Ὁ δὲ ἀρχιερεὺς Ἀνανίας ἐπέταξεν
τοῖς παρεστῶσιν αὐτῷ τύπτειν αὐτοῦ τὸ
στόμα. 3 Τότε ὁ Παῦλος πρὸς αὐτὸν εἶπεν·
«Τύπτειν σε μέλλει ὁ Θεός, τοῖχε κεκονιαμένε·
καὶ σὺ κάθῃ κρίνων† με κατὰ τὸν νόμον, καὶ
παρανομῶν κελεύεις με τύπτεσθαι.» 4 Οἱ δὲ
παρεστῶτες εἶπον,‡ «Τὸν ἀρχιερέα τοῦ Θεοῦ
λοιδορεῖς;» 5 Ἔφη τε ὁ Παῦλος· «Οὐκ ᾔδειν,

---

§ **22:30** υπο **f**35 אA,B,C [30%] NU ¦ παρα [70%] HF,RP,OC,TR,CP * **22:30** απο των δεσμων **f**35 (90.1%) HF,RP,OC,TR,CP ¦ — אA,B,C (9.9%) NU † **22:30** ελθειν **f**35 [93%] HF,RP,OC,TR,CP ¦ συνελθειν אA,B,C [5%] NU ¦ συνεισελθειν [2%] ‡ **22:30** παν **f**35 אA,B,C [20%] NU ¦ ολον [80%] HF,RP,OC,TR,CP § **22:30** αυτων **f**35 [88%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [12%] NU * **23:1** ο παυλος τω συνεδριω **f**35 (85.9%) HF,RP,OC,TR,NU ¦ 234 B (9%) CP ¦ 3412 אA,C (5%) † **23:3** κρινων *rell* ¦ κρινον [20%] ‡ **23:4** ειπον *rell* ¦ ειπαν אB [5%] NU

ἀδελφοί, ὅτι ἐστὶν ἀρχιερεύς· γέγραπται γάρ,§
‹Ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς.› »
6 Γνοὺς δὲ ὁ Παῦλος ὅτι τὸ ἓν μέρος ἐστὶν
Φαρισαίων, τὸ δὲ ἕτερον Σαδδουκαίων,*
ἔκραξεν† ἐν τῷ συνεδρίῳ, «Ἄνδρες ἀδελφοί,
ἐγὼ Φαρισαῖός εἰμι, υἱὸς Φαρισαίου·‡ περὶ
ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ§
κρίνομαι.» 7 Τοῦτο δὲ αὐτοῦ λαλήσαντος,*
ἐγένετο στάσις τῶν Φαρισαίων καὶ τῶν
Σαδδουκαίων,† καὶ ἐσχίσθη τὸ πλῆθος.
8 (Σαδδουκαῖοι μὲν γὰρ λέγουσιν μὴ
εἶναι ἀνάστασιν, μήτε‡ ἄγγελον μήτε
πνεῦμα, Φαρισαῖοι δὲ ὁμολογοῦσιν τὰ
ἀμφότερα.) 9 Ἐγένετο δὲ κραυγὴ μεγάλη,
καὶ ἀναστάντες§ οἱ γραμματεῖς* τοῦ μέρους
τῶν Φαρισαίων διεμάχοντο λέγοντες, «Οὐδὲν
κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ·
εἰ δὲ† πνεῦμα ἐλάλησεν αὐτῷ ἢ ἄγγελος,

---

§ **23:5** γαρ **f**$^{35}$ C [95%] HF,RP,OC,TR,CP ¦ 1 οτι אA,B [5%] NU * **23:6** φαρισαιων το δε ετερον σαδδουκαιων **f**$^{35}$ [20%] ¦ 52341 אA,B,C [80%] HF,RP,OC,TR,CP,NU † **23:6** εκραξεν **f**$^{35}$ A [98%] HF,RP,OC,TR,CP ¦ εκραζεν אB,C [2%] NU ‡ **23:6** φαρισαιου **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ φαρισαιων אA(B)C [3%] NU § **23:6** εγω **f**$^{35}$ אA [99%] HF,RP,OC,TR,CP[NU] ¦ — B,C [1%] * **23:7** λαλησαντος **f**$^{35}$ C [86%] HF,RP,OC,TR,CP ¦ λαλουντος B [10%] ¦ ειποντος (א)A [4%] NU † **23:7** φαρισαιων και των σαδδουκαιων **f**$^{35}$ [48%] HF,OC,TR ¦ 1 [25%] RP ¦ 4231 [7%] ¦ 124 A(B)C [15%] NU ¦ 421 א [5%] CP ‡ **23:8** μητε **f**$^{35}$ אA,B,C [25%] OC,NU ¦ μηδε [75%] HF,RP,TR,CP § **23:9** αναστantες **f**$^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ 1 τινες אA,B(C) [7%] NU * **23:9** οι γραμματεις **f**$^{35}$ [49%] HF,RP,OC,TR,CP ¦ 2 [45%] ¦ των γραμματεων אB(C) [4%] NU ¦ — A [2%] † **23:9** δε *rell* ¦ 1 και CP

μὴ θεομαχῶμεν.»‡ 10 Πολλῆς δὲ γενομένης
στάσεως,§ εὐλαβηθεὶς* ὁ χιλίαρχος μὴ
διασπασθῇ ὁ Παῦλος ὑπ᾽ αὐτῶν, ἐκέλευσεν
τὸ στράτευμα καταβῆναι καὶ† ἁρπάσαι αὐτὸν
ἐκ μέσου αὐτῶν, ἄγειν τε εἰς τὴν παρεμβολήν.

### *A plot exposed*

11 Τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐπιστὰς αὐτῷ
ὁ Κύριος εἶπεν, «Θάρσει Παῦλε,‡ ὡς γὰρ
διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλήμ,
οὕτως σε δεῖ§ καὶ εἰς Ῥώμην μαρτυρῆσαι.»
12 Γενομένης δὲ ἡμέρας, ποιήσαντές τινες
τῶν Ἰουδαίων συστροφήν,* ἀνεθεμάτισαν
ἑαυτοὺς† μήτε φαγεῖν μήτε πιεῖν ἕως οὗ
ἀνέλωσιν‡ τὸν Παῦλον. 13 Ἦσαν δὲ πλείους
τεσσαράκοντα§ οἱ ταύτην τὴν συνωμοσίαν*

‡ **23:9** μη θεομαχωμεν **f**35 (95.6%) HF,RP,OC,TR,CP ¦ — אA,B,C (4.4%) NU § **23:10** γενομενης στασεως **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 21 A,C ¦ γινομενης 2 (א)(B) [5%] NU * **23:10** ευλαβηθεις **f**35 [93%] HF,RP,OC,TR,CP ¦ φοβηθεις (א)A,B,C [7%] NU † **23:10** καταβηναι και **f**35 [95%] HF,RP,OC,CP ¦ καταβαν אA,B,C [5%] TR,NU ‡ **23:11** παυλε **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [5%] NU § **23:11** σε δει *rell* ¦ 21 CP * **23:12** τινες των ιουδαιων συστροφην **f**35 [86%] HF,RP,OC,TR,CP ¦ 4123 (𝔓48) [4%] ¦ 4 οι ιουδαιοι אA,B,C [10%] NU † **23:12** εαυτους **f**35 C [25%] ¦ 1 λεγοντες 𝔓48אA,B [75%] HF,RP,OC,TR,CP,NU ‡ **23:12** ανελωσιν **f**35 (A) [20%] ¦ αποκτεινωσιν (א)B,C [80%] HF,RP,OC,TR,CP,NU ¦ απεκτειναις 𝔓48 § **23:13** τεσσαρακοντα **f**35 [97%] HF,RP,OC,TR,CP ¦ τεσσερακοντα אA,B,C [3%] NU * **23:13** συνωμοσιαν *rell* ¦ συνομοσιαν [35%] ¦ two other variants ¦ — 𝔓48 is wild

πεποιηκότες·† 14 οἵτινες προσελθόντες
τοῖς ἀρχιερεῦσιν καὶ τοῖς‡ πρεσβυτέροις
εἶπον·§ «Ἀναθέματι ἀνεθεματίσαμεν ἑαυτοὺς
μηδενὸς γεύσασθαι ἕως οὗ ἀποκτείνωμεν τὸν
Παῦλον. 15 Νῦν οὖν, ὑμεῖς ἐμφανίσατε τῷ
χιλιάρχῳ, σὺν τῷ συνεδρίῳ, ὅπως αὔριον*
καταγάγῃ αὐτὸν† πρὸς‡ ὑμᾶς, ὡς μέλλοντας
διαγινώσκειν ἀκριβέστερον τὰ περὶ αὐτοῦ·
ἡμεῖς δέ, πρὸ τοῦ ἐγγίσαι αὐτόν, ἕτοιμοί
ἐσμεν τοῦ ἀνελεῖν αὐτόν.»
16 Ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου
τὸ ἔνεδρον,§ παραγενόμενος καὶ εἰσελθὼν
εἰς τὴν παρεμβολήν, ἀπήγγειλεν τῷ Παύλῳ.
17 Προσκαλεσάμενος δὲ ὁ Παῦλος ἕνα τῶν
ἑκατοντάρχων ἔφη, «Τὸν νεανίαν* τοῦτον
ἀπάγαγε πρὸς τὸν χιλίαρχον, ἔχει γάρ τι
ἀπαγγεῖλαι† αὐτῷ.» 18 Ὁ μὲν οὖν παραλαβὼν
αὐτὸν ἤγαγεν πρὸς τὸν χιλίαρχον καί φησιν,
«Ὁ δέσμιος Παῦλος προσκαλεσάμενός με
ἠρώτησεν τοῦτον τὸν νεανίαν‡ ἀγαγεῖν πρός

† **23:13** πεποιηκοτες **f35** [85%] HF,RP,OC,TR,CP ¦ ποιησαμενοι אA,B,C [5%] NU ¦ ποιησαντες [9%] ¦ three other variants 𝔓48 [1%] ‡ **23:14** τοις *rell* ¦ — CP § **23:14** ειπον *rell* ¦ ειπαν 𝔓48אA,B,C [15%] NU * **23:15** αυριον **f35** [95%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [5%] NU † **23:15** καταγαγη αυτον **f35** 𝔓48אA,B,C [35%] CP,NU ¦ 21 [65%] HF,RP,OC,TR ‡ **23:15** προς **f35** C [93%] HF,RP,OC,TR,CP ¦ εις 𝔓48אA,B [7%] NU § **23:16** το ενεδρον **f35** [92%] HF,RP,OC,TR,CP ¦ την ενεδραν אA,B,C [8%] NU * **23:17** νεανιαν *rell* ¦ νεανισκον [2%] CP ¦ νεανια [19%] ¦ one other variant † **23:17** τι απαγγειλαι **f35** (א)C [97%] HF,RP,OC,TR,CP ¦ 21 A,B [3%] NU ‡ **23:18** νεανιαν **f35** B [85%] HF,RP,OC,TR,CP ¦ νεανισκον אA [15%] NU

σε, ἔχοντά τι λαλῆσαί σοι.» 19 Ἐπιλαβόμενος
δὲ τῆς χειρός αὐτοῦ, ὁ χιλίαρχος καὶ
ἀναχωρήσας κατ᾽ ἰδίαν ἐπυνθάνετο, «Τί
ἐστιν ὃ ἔχεις ἀπαγγεῖλαί μοι;» 20 Εἶπεν δὲ
ὅτι «Οἱ Ἰουδαῖοι συνέθεντο τοῦ ἐρωτῆσαί
σε ὅπως αὔριον εἰς τὸ συνέδριον καταγάγῃς

τὸν Παῦλον,§ ὡς μέλλοντές* τι ἀκριβέστερον

---

§ **23:20** εις το συνεδριον καταγαγης τον παυλον **f**[35] [88%] HF,RP,OC,TR,CP ¦ 564123 אA,B [7%] NU ¦ 456123 [5%] * **23:20** 1) μελλοντες **f**[35] (33.1%) TR,CP 2) μελλοντα (27.2%) HF,RP 3) μελλοντων (17.4%) OC 4) μελλων A,B (9.2%) 5) μελλον א (7.5%) NU6) μελλοντας (5.4%) (one other) (0.2%) Rather a dismaying picture—what to do? To begin, the variants are all participial forms of the same verb. The key seems to be the perceived referent or antecedent of the participle. Is it "the Jews", "the Sanhedrin" or "the commander"? The best answer from the point of view of the grammar is evidently "the Jews", which would require a masc., nom., plural form—the only candidate is variant 1). However, there were those who took the referent to be "the Sanhedrin"—the Alexandrian MSS have συνεδριον next to the participle, separated only by ως. The grammar requires a neuter, acc., sg. form—variant 5). But, the Sanhedrin was made up of men, so perhaps some decided it would be more appropriate to make it plural—variant 2); and maybe even masc. besides—variant 6) [might this be assimilation to verse 15?]. Variant 3), being genitive, is really strange, unless somehow someone thought that the commander intended to inquire of the Sanhedrin, viewed as plural. Variant 4) presumably takes "the commander" as the referent, but puts the form in the nom., sort of *ad sensum* since σε is acc. But variant 2) could also be referring to the commander, precisely masc., acc., singular. What are the requirements of the context? "The commander" as referent does not fit. Not only was it not his idea, he sent Paul away that very night to forestall the possibility. (That the Jews should attempt to tell the commander what was in **his** mind is scarcely credible.) "The Sanhedrin" as referent really doesn't fit either. το συνεδριον appears in the text as the OBJECT OF A PREPOSITION, not as an initiating agent. It is "the Jews" that is the Subject of the main verb, and therefore of the two infinitives, and our participle is working with the second infinitive, "as ones intending to inquire". Conclusion: variant 1) is the only one that really fits the context; it is also the best attested. Although it only musters 33.1% of the vote (including **f**[35]), it is also attested by the three ancient versions—always weighty testimony. I conclude that the Autograph read μελλοντες.

πυνθάνεσθαι περὶ αὐτοῦ. 21 Σὺ οὖν μὴ πεισθῇς
αὐτοῖς· ἐνεδρεύουσιν γὰρ αὐτὸν ἐξ αὐτῶν
ἄνδρες πλείους† τεσσαράκοντα,‡ οἵτινες
ἀνεθεμάτισαν ἑαυτοὺς μήτε φαγεῖν μήτε πιεῖν
ἕως οὗ ἀνέλωσιν αὐτόν· καὶ νῦν ἕτοιμοί εἰσιν§
προσδεχόμενοι τὴν ἀπὸ σοῦ ἐπαγγελίαν.» 22 Ὁ
μὲν οὖν χιλίαρχος ἀπέλυσεν* τὸν νεανίαν†
παραγγείλας, «Μηδενὶ ἐκλαλῆσαι ὅτι ταῦτα
ἐνεφάνισας πρός με.»

*Paul sent to Felix*

23 Καὶ προσκαλεσάμενος δύο τινὰς‡
τῶν ἑκατοντάρχων εἶπεν· «Ἑτοιμάσατε
στρατιώτας διακοσίους ὅπως πορευθῶσιν
ἕως Καισαρείας, καὶ ἱππεῖς ἑβδομήκοντα καὶ
δεξιολάβους διακοσίους, ἀπὸ τρίτης ὥρας
τῆς νυκτός· 24 κτήνη τε παραστῆσαι, ἵνα
ἐπιβιβάσαντες§ τὸν Παῦλον διασώσωσιν
πρὸς Φήλικα* τὸν ἡγεμόνα.» 25 Γράψας
ἐπιστολὴν περιέχουσαν† τὸν τύπον τοῦτον·

---

† **23:21** πλειους *rell* ¦ — [15%] ‡ **23:21** τεσσαρακοντα **f**[35] [98%] HF,RP,OC,TR,CP ¦ τεσσερακοντα אA,B [2%] NU § **23:21** ετοιμοι εισιν **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ 21 אA,B [8%] NU * **23:22** απελυσεν *rell* ¦ επελυσεν CP ¦ απελυσαι [3%] † **23:22** νεανιαν **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ νεανισκον אA,B [4%] NU ‡ **23:23** δυο τινας **f**[35] A [97%] HF,RP,OC,TR,CP[NU] ¦ 21 אB [2%] ¦ 2 [1%] § **23:24** επιβιβασαντες *rell* ¦ επιβηβασαντες [20%] * **23:24** φηλικα **f**[35] אB [35%] HF,RP,OC,TR,NU ¦ φιληκα [25%] CP ¦ φιλικα A [40%] † **23:25** περιεχουσαν **f**[35] A [94%] HF,RP,OC,TR,CP ¦ εχουσαν אB [6%] NU ¦ — 𝔭[48] is wild

26 «Κλαύδιος Λυσίας, τῷ κρατίστῳ ἡγεμόνι
Φήλικι·‡ Χαίρειν. 27 Τὸν ἄνδρα τοῦτον
συλληφθέντα§ ὑπὸ τῶν Ἰουδαίων καὶ
μέλλοντα ἀναιρεῖσθαι ὑπ᾽ αὐτῶν· ἐπιστὰς
σὺν τῷ στρατεύματι ἐξειλόμην* αὐτόν,†
μαθὼν ὅτι Ῥωμαῖός ἐστιν. 28 Βουλόμενος δὲ‡
γνῶναι§ τὴν αἰτίαν δι᾽ ἣν ἐνεκάλουν αὐτῷ,
κατήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν·*
29 ὃν εὗρον ἐγκαλούμενον περὶ ζητημάτων
τοῦ νόμου αὐτῶν, μηδὲν† ἄξιον θανάτου ἢ
δεσμῶν ἔγκλημα ἔχοντα.‡ 30 Μηνυθείσης δέ
μοι ἐπιβουλῆς εἰς τὸν ἄνδρα μέλλειν§ ἔσεσθαι
ὑπὸ τῶν Ἰουδαίων,* ἐξαυτῆς ἔπεμψα πρός σε,
παραγγείλας καὶ τοῖς κατηγόροις λέγειν τὰ†
πρὸς αὐτὸν ἐπὶ σοῦ. Ἔρρωσο.»‡

---

‡ **23:26** φηλικι **f**$^{35}$ 𝔓$^{48}$אB [40%] HF,RP,OC,TR,NU ¦ φιληκι [30%] CP ¦ φιλικι A [17%] ¦ φιλικη [4%] ¦ — [9%] § **23:27** συλληφθεντα *rell* ¦ συλλημφθεντα 𝔓$^{48}$אA,B [2%] NU * **23:27** εξειλομην *rell* ¦ εξειλαμην א(A)B [4%] NU ¦ ερυσαμην 𝔓$^{48}$ † **23:27** αυτον **f**$^{35}$ [87%] HF,RP,OC,TR,CP ¦ αυτων [3%] ¦ — אA,B [10%] NU ¦ κραζον 𝔓$^{48}$ ‡ **23:28** δε **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ τε 𝔓$^{48}$אA,B [3%] NU § **23:28** γνωναι **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ επιγνωναι אA,B [5%] NU * **23:28** κατηγαγον αυτον εις το συνεδριον αυτων **f**$^{35}$ 𝔓$^{48v}$ [95%] HF,RP,OC,TR,CP ¦ 13456 אA [4%] NU ¦ — B [1%] † **23:29** μηδεν **f**$^{35}$ [75%] HF,RP ¦ 1 δε אA,B [25%] OC,TR,CP,NU ‡ **23:29** εγκλημα εχοντα **f**$^{35}$ [50%] HF,RP,OC,TR,CP ¦ 21 אA,B [50%] NU § **23:30** μελλειν **f**$^{35}$ (89.4%) HF,RP,OC,TR,CP ¦ — אA,B (10.6%) NU * **23:30** υπο των ιουδαιων **f**$^{35}$ (89.4%) HF,RP,OC,TR,CP ¦ — אA,B (10.6%) NU † **23:30** τα **f**$^{35}$ [98%] HF,RP,OC,TR,CP[NU] ¦ — (אA)B [2%] ‡ **23:30** ερρωσο **f**$^{35}$ א [68%] HF,RP,OC,TR,CP ¦ ερρωσθε [25%] ¦ four further spellings [5%] ¦ — A,B [2%] NU

31 Οἱ μὲν οὖν στρατιῶται, κατὰ τὸ
διατεταγμένον αὐτοῖς, ἀναλαβόντες τὸν
Παῦλον, ἤγαγον διὰ τῆς§ νυκτὸς εἰς τὴν
Ἀντιπατρίδα. 32 Τῇ δὲ ἐπαύριον ἐάσαντες τοὺς
ἱππεῖς πορεύεσθαι* σὺν αὐτῷ, ὑπέστρεψαν
εἰς τὴν παρεμβολήν. 33 Οἵτινες εἰσελθόντες
εἰς τὴν Καισάρειαν καὶ ἀναδόντες τὴν
ἐπιστολὴν τῷ ἡγεμόνι, παρέστησαν καὶ τὸν
Παῦλον αὐτῷ. 34 Ἀναγνοὺς δὲ ὁ ἡγεμὼν† καὶ
ἐπερωτήσας ἐκ ποίας ἐπαρχίας‡ ἐστίν καὶ
πυθόμενος ὅτι ἀπὸ Κιλικίας. 35 «Διακούσομαί
σου,» ἔφη, «ὅταν καὶ οἱ κατήγοροί σου
παραγένωνται.»§ Ἐκέλευσέν τε* αὐτὸν† ἐν
τῷ πραιτωρίῳ τοῦ‡ Ἡρῴδου φυλάσσεσθαι.§

# 24

### *Caesarea*

### *Felix*

1 Μετὰ δὲ πέντε ἡμέρας κατέβη ὁ ἀρχιερεὺς
Ἀνανίας μετὰ τῶν πρεσβυτέρων* καὶ ῥήτορος

---

§ **23:31** της **f**$^{35}$ [90%] HF,RP,OC,TR,CP ¦ — אA,B [10%] NU * **23:32** πορευεσθαι **f**$^{35}$ [85%] HF,RP,OC,TR,CP ¦ απερχεσθαι (א)A,B [15%] NU † **23:34** ο ηγεμων **f**$^{35}$ [91%] HF,RP,OC,TR,CP ¦ — אA,B [9%] NU ‡ **23:34** επαρχιας *rell* ¦ επαρχειας אA,B [2%] NU § **23:35** παραγενωνται *rell* ¦ παραγενονται [20%] ¦ παραγενοντε [3%] * **23:35** εκελευσεν τε **f**$^{35}$ [87%] HF,RP,OC,TR,CP ¦ κελευσας A,B [10%] NU ¦ κελευσαντος א ¦ εκελευσαι δε [3%] † **23:35** αυτον **f**$^{35}$ [90%] HF,RP,OC,TR,CP ¦ — אA,B [10%] NU ‡ **23:35** του **f**$^{35}$ אA [20%] OC,TR,NU ¦ τω B [1%] ¦ — [79%] HF,RP,CP § **23:35** φυλασσεσθαι **f**$^{35}$ [90%] HF,RP,OC,TR,CP ¦ 1 αυτον אA,B [10%] NU * **24:1** των πρεσβυτερων **f**$^{35}$ (83.4%) HF,RP,OC,TR,CP ¦ 2 τινων אA,B (14.9%) NU ¦ 2 (1.7%)

Τερτύλλου τινός, οἵτινες ἐνεφάνισαν† τῷ
ἡγεμόνι‡ κατὰ τοῦ Παύλου. 2 Κληθέντος
δὲ αὐτοῦ, ἤρξατο κατηγορεῖν ὁ Τέρτυλλος
λέγων· «Πολλῆς εἰρήνης τυγχάνοντες διὰ
σοῦ, καὶ κατορθωμάτων§ γινομένων τῷ ἔθνει
τούτῳ διὰ τῆς σῆς προνοίας, 3 πάντῃ* τε καὶ
πανταχοῦ ἀποδεχόμεθα, κράτιστε Φῆλιξ,†
μετὰ πάσης εὐχαριστίας.‡ 4 Ἵνα δὲ μὴ ἐπὶ
πλέον§ σε ἐγκόπτω, παρακαλῶ ἀκοῦσαί σε
ἡμῶν συντόμως τῇ σῇ ἐπιεικείᾳ. 5 Εὑρόντες
γὰρ τὸν ἄνδρα τοῦτον λοιμὸν καὶ κινοῦντα
στάσιν* πᾶσιν τοῖς Ἰουδαίοις τοῖς κατὰ
τὴν οἰκουμένην, πρωτοστάτην τε τῆς τῶν
Ναζωραίων αἱρέσεως, 6 ὃς καὶ τὸ ἱερὸν

† **24:1** ενεφανισαν *rell* ¦ ενεφανησαν [20%] ¦ επεφανησαν [5%]
‡ **24:1** ηγεμονι *rell* ¦ ηγεμωνι [10%] ¦ ηγεμονη [3%] § **24:2** κατορθωματων **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ διορθωματων אA,B [10%] NU * **24:3** παντη *rell* ¦ παντι [35%] ¦ one other variant † **24:3** φηλιξ **f**[35] אA,B [40%] HF,RP,OC,TR,NU ¦ φιληξ [35%] CP ¦ φιλιξ [25%] ‡ **24:3** ευχαριστιας *rell* ¦ ευχαριστειας A [14%] § **24:4** πλεον **f**[35] [20%] ¦ πλειον אA,B [79%] HF,RP,OC,TR,CP,NU ¦ πλιον A [1%] * **24:5** στασιν **f**[35] [96%] HF,RP,OC,TR,CP ¦ στασεις (א)A,B [4%] NU

ἐπείρασεν βεβηλῶσαι· ὃν καὶ ἐκρατήσαμεν·†

---

† **24:6** 1) (without the long addition) **f**[35] אA,B (58.9%) HF,RP,NU 2) - 36): 7 και κατα τον ημετερον νομον ηθελησαμεν κριναι παρελθων δε λυσιας ο χιλιαρχος μετα πολλης βιας εκ των χειρων ημων απηγαγεν κελευσας τους κατηγορους αυτου ερχεσθαι επι σε. The five principle variations hinge on the three underlined words; they are: 2) κριναι … επι σε (9.7%) [6 variants] 8) κριναι … επι σου (10.5%) [14 variants] 22) κριναι … προς σε (5.3%) [8 variants] 30) κρινειν … επι σου (4.4%) [4 variants] 34) κρινειν … επι σε (1.7%) OC,TR [3 variants] (OC is in small print) 37) replaces απηγαγεν with five words, plus two other changes: κριναι … επι σου (3.2%) [2 variants] 39) completely rewrites the material: κριναι … προς σε (3.4%) CP [6 variants](eight further variants) (2.9%) [8 variants].Variant 2) presumably has the best claim to be the standard form of the addition: κριναι clearly bests κρινειν, επι clearly bests προς, σε barely bests σου. [Although variant 8) appears to be slightly stronger than 2) numerically, the 14 internal variants, compared to 6, effectively diminish its credibility. The main variant in 2) is far stronger than that of 8).] It is also attested by syr and lat[pt]. However, although some form of the addition commands 41.1% of the MSS, there are no less than 51 variants! What about the context? The addition makes good sense, and it fits nicely. But, it is not really necessary; that information Felix already knew. The text reads quite well without the addition also. I conclude that the short form was judged to be abrupt or incomplete, giving rise to the addition; presumably the Autograph did not contain it. Since Tertullus was an orator he may well have actually said what is in the addition, plus a good deal more besides, but did Luke write it? (The incidents recorded in Acts were well known by many contemporaries, and there were many written accounts in circulation [Luke 1:1], so it was entirely predictable that a variety of historically correct material would be added, here and there, to Luke's account.) The external evidence, though divided, is adequate to resolve this case: 58.9% against a severely fragmented 41.1%. The ancient versions, being divided, do not help us much this time. Although 59% is not a strong majority, by any means, still, the severe fragmentation of the 41% sort of leaves variant 1) without a worthy opponent. Variant 1) wins in "Antiquity", "Number", "Variety" and "Continuity", so I have no doubt that it is original. [The reading of the TR, variant 34), really

8 παρ᾽ οὗ δυνήσῃ, αὐτὸς ἀνακρίνας,
περὶ πάντων τούτων ἐπιγνῶναι ὧν ἡμεῖς
κατηγοροῦμεν αὐτοῦ.» 9 Συνεπέθεντο‡ δὲ καὶ
οἱ Ἰουδαῖοι, φάσκοντες ταῦτα οὕτως ἔχειν.
10 Ἀπεκρίθη δὲ§ ὁ Παῦλος, νεύσαντος αὐτῷ
τοῦ ἡγεμόνος, λέγειν· «Ἐκ πολλῶν ἐτῶν
ὄντα σε κριτὴν δίκαιον* τῷ ἔθνει τούτῳ
ἐπιστάμενος, εὐθυμότερον† τὰ περὶ ἐμαυτοῦ
ἀπολογοῦμαι, 11 δυναμένου σου γνῶναι‡ ὅτι
οὐ πλείους εἰσίν μοι ἡμέραι§ δεκαδύο,* ἀφ᾽
ἧς ἀνέβην προσκυνήσων ἐν† Ἱερουσαλήμ.
12 Καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με πρός
τινα διαλεγόμενον ἢ ἐπισύστασιν‡ ποιοῦντα
ὄχλου, οὔτε ἐν ταῖς συναγωγαῖς, οὔτε κατὰ
τὴν πόλιν. 13 Οὔτε§ παραστῆσαι* δύνανται†
περὶ ὧν νῦν‡ κατηγοροῦσίν μου. 14 Ὁμολογῶ
δὲ τοῦτό σοι, ὅτι κατὰ τὴν ὁδὸν ἣν λέγουσιν

---

‡ **24:9** συνεπεθεντο *rell* ¦ συνεθεντο [5%] TR § **24:10** δε **f**$^{35}$ [95%] HF,RP,OC,TR ¦ τε ℵA,B [5%] CP,NU * **24:10** δικαιον **f**$^{35}$ [25%] ¦ — ℵA,B [75%] HF,RP,OC,TR,CP,NU † **24:10** ευθυμοτερον **f**$^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ ευθυμως ℵA,B [7%] NU ‡ **24:11** γνωναι **f**$^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ επιγνωναι ℵA,B [7%] NU § **24:11** ημεραι **f**$^{35}$ ℵA,B [95%] HF,RP,OC,CP,NU ¦ 1 η [5%] TR ¦ one other variant * **24:11** δεκαδυο **f**$^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ δωδεκα ℵA,B [7%] NU † **24:11** εν **f**$^{35}$ [75%] HF,RP,TR,CP ¦ εις ℵA,B [25%] OC,NU ‡ **24:12** επισυστασιν **f**$^{35}$ [89%] HF,RP,OC,TR,CP ¦ επιστασιν ℵA,B [10%] NU ¦ two other variants [1%] § **24:13** ουτε **f**$^{35}$ A [98%] HF,RP,OC,TR,CP ¦ ουδε ℵB [2%] NU * **24:13** παραστησαι **f**$^{35}$ ℵA,B [40%] OC,NU ¦ 1 με HF,RP,TR,CP ¦ 1 με νυν [60%] † **24:13** δυνανται **f**$^{35}$ [88%] HF,RP,OC,TR,CP ¦ 1 σοι (σου A) ℵ(A)B [7%] NU ¦ 1 μοι [5%] ‡ **24:13** νυν **f**$^{35}$ [88%] HF,RP,OC,TR,CP ¦ νυνι ℵA(B) [7%] NU ¦ — [5%]

αἵρεσιν, οὕτως λατρεύω τῷ πατρῴῳ Θεῷ,
πιστεύων πᾶσιν τοῖς κατὰ τὸν Νόμον καὶ
τοῖς§ Προφήταις γεγραμμένοις, 15 ἐλπίδα
ἔχων εἰς τὸν Θεόν, ἣν καὶ αὐτοὶ οὗτοι
προσδέχονται, ἀνάστασιν μέλλειν ἔσεσθαι
νεκρῶν,* δικαίων τε καὶ ἀδίκων. 16 Ἐν τούτῳ
δὲ† αὐτὸς ἀσκῶ, ἀπρόσκοπον συνείδησιν
ἔχων‡ πρός τε§ τὸν Θεὸν καὶ τοὺς ἀνθρώπους
διὰ παντός.* 17 Δι᾽ ἐτῶν δὲ πλειόνων
παρεγενόμην ἐλεημοσύνας ποιήσων εἰς τὸ
ἔθνος μου† καὶ προσφοράς, 18 ἐν οἷς‡ εὗρόν
με ἡγνισμένον ἐν τῷ ἱερῷ, οὐ μετὰ ὄχλου
οὐδὲ μετὰ θορύβου, τινὲς§ ἀπὸ τῆς Ἀσίας
Ἰουδαῖοι· 19 οὓς ἔδει* ἐπὶ σοῦ παρεῖναι καὶ
κατηγορεῖν εἴ τι ἔχοιεν πρός με.† 20 Ἢ αὐτοὶ
οὗτοι εἰπάτωσαν‡ τί εὗρον ἐν ἐμοὶ§ ἀδίκημα,

---

§ **24:14** τοις **f**$^{35}$ A (79.1%) HF,RP,TR,CP ¦ 1 εν 1 אB (20.4%) OC,NU ¦ τους [5%] (OC is in small print) * **24:15** νεκρων **f**$^{35}$ (93.4%) HF,RP,OC,TR,CP ¦ — אA,B,C (6.6%) NU † **24:16** δε **f**$^{35}$ [76%] HF,RP,TR,CP ¦ και אA,B,C [10%] NU ¦ 1 και [12%] OC ¦ τε και [2%] ‡ **24:16** εχων **f**$^{35}$ [95%] HF,RP,CP ¦ εχειν אA,B,C [5%] OC,TR,NU § **24:16** τε **f**$^{35}$ [60%] ¦ — אA,B,C [40%] HF,RP,OC,TR,CP,NU * **24:16** δια παντος *rell* ¦ — CP † **24:17** παρεγενομην ελεημοσυνας ποιησων εις το εθνος μου **f**$^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ 234567 A ¦ 2345671 אB,C [7%] NU ‡ **24:18** οις **f**$^{35}$ [90%] HF,RP,OC,TR,CP ¦ αις אA,B,C [10%] NU ¦ one other variant § **24:18** τινες **f**$^{35}$ [92%] HF,RP,OC ¦ 1 δε אA,B [2%] TR,CP,NU ¦ 1 των [2%] ¦ 1 δε των C [4%] ¦ one other variant * **24:19** εδει **f**$^{35}$ אA,B,C [30%] OC,NU ¦ δει [70%] HF,RP,TR,CP † **24:19** με **f**$^{35}$ [97%] HF,RP,OC,TR,CP ¦ εμε אA,B,C [3%] NU ‡ **24:20** ειπατωσαν **f**$^{35}$ אA,B,C [95%] HF,RP,OC,CP,NU ¦ 1 ει [5%] TR § **24:20** εν εμοι **f**$^{35}$ C [97%] HF,RP,OC,TR,CP ¦ — אA,B [3%] NU

στάντος μου ἐπὶ τοῦ συνεδρίου, 21 ἢ περὶ μιᾶς
ταύτης φωνῆς ἧς ἔκραξα,* ἑστὼς ἐν αὐτοῖς,†
ὅτι ‹Περὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι
σήμερον ὑφ᾽‡ ὑμῶν.› »
22 Ἀκούσας δὲ ταῦτα ὁ Φῆλιξ ἀνεβάλετο
αὐτούς,§ ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς
Ὁδοῦ, εἰπών,* «Ὅταν Λυσίας ὁ χιλίαρχος
καταβῇ διαγνώσομαι τὰ καθ᾽ ὑμᾶς»·
23 διαταξάμενός τε† τῷ ἑκατοντάρχῃ
τηρεῖσθαι τὸν Παῦλον,‡ ἔχειν τε ἄνεσιν, καὶ
μηδένα κωλύειν τῶν ἰδίων αὐτοῦ ὑπηρετεῖν ἢ
προσέρχεσθαι§ αὐτῷ.
24 Μετὰ δὲ ἡμέρας τινάς, παραγενόμενος
ὁ Φῆλιξ* σὺν Δρουσίλλῃ τῇ γυναικί,† οὔσῃ
Ἰουδαίᾳ, μετεπέμψατο τὸν Παῦλον καὶ

* **24:21** εκραξα **f**35 [80%] HF,RP,OC,TR,CP ¦ εκεκραξα ℵA,B,C [20%] NU † **24:21** εστως εν αυτοις **f**35 [92%] HF,RP,OC,TR,CP ¦ 231 ℵA,B,C [8%] NU ‡ **24:21** υφ **f**35 ℵ [97%] HF,RP,OC,TR,CP ¦ εφ A,B,C [3%] NU § **24:22** ακουσας δε ταυτα ο φηλιξ ανεβαλετο (ανεβαλλετο 7.4% CP) αυτους **f**35 (92.4%) HF,RP,OC,TR(CP) ¦ 62745 ℵA,B,C (4.9%) NU ¦ 62457 (2.7%) (For the statement of evidence on φηλιξ see the note five down.) * **24:22** ειπων **f**35 [95%] HF,RP,OC,TR,CP ¦ ειπας ℵA,B,C [3%] NU ¦ — [2%] † **24:23** τε **f**35 [75%] HF,RP,OC,TR,CP ¦ δε [3%] ¦ — ℵA,B,C [22%] NU ‡ **24:23** τον παυλον **f**35 [93%] HF,RP,OC,TR,CP ¦ αυτον ℵA,B,C [7%] NU § **24:23** η προσερχεσθαι **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C [5%] NU * **24:24** φηλιξ **f**35 ℵA [46%] HF,RP,OC,TR,NU ¦ φιληξ [37%] CP ¦ φιλιξ B [17%] (The percentages remain the same in verses 25, 27a and 27b. In the note five up, the three variants have [46%], [32%] and [22%] respectively.) † **24:24** γυναικι **f**35 C [88%] HF,RP ¦ 1 αυτου ℵ [8%] OC,TR ¦ ιδια 1 B [3%] CP,NU ¦ ιδια 1 αυτου A [1%]

ἤκουσεν αὐτοῦ περὶ τῆς εἰς Χριστὸν Ἰησοῦν‡
πίστεως. 25 Διαλεγομένου δὲ αὐτοῦ περὶ
δικαιοσύνης καὶ ἐγκρατείας καὶ τοῦ κρίματος
τοῦ μέλλοντος ἔσεσθαι,§ ἔμφοβος γενόμενος
ὁ Φῆλιξ ἀπεκρίθη, «Τὸ νῦν ἔχον* πορεύου·
καιρὸν δὲ μεταλαβὼν† μετακαλέσομαί σε.»
26 Ἅμα‡ καὶ ἐλπίζων ὅτι χρήματα δοθήσεται
αὐτῷ ὑπὸ τοῦ Παύλου, ὅπως λύσῃ αὐτόν·§
διὸ καὶ πυκνότερον* μεταπεμπόμενος ὡμίλει†
αὐτῷ.
27 Διετίας δὲ πληρωθείσης, ἔλαβεν διάδοχον
ὁ Φῆλιξ Πόρκιον Φῆστον· θέλων δὲ‡
χάριτας§ καταθέσθαι τοῖς Ἰουδαίοις, ὁ Φῆλιξ
κατέλιπεν* τὸν Παῦλον δεδεμένον.

# 25

*Festus*

1 Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ,* μετὰ

---

‡ **24:24** ιησουν **f**$^{35}$ ℵ(B) [55%] CP,NU ¦ — A [45%] HF,RP,OC,TR § **24:25** εσεσθαι **f**$^{35}$ [92%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C [8%] NU * **24:25** εχον *rell* ¦ εχων [14%] ¦ one other variant † **24:25** μεταλαβων *rell* ¦ λαβων [10%] CP ¦ παραλαβων A ¦ two other variants ‡ **24:26** αμα **f**$^{35}$ ℵA,B,C [95%] HF,RP,CP,NU ¦ 1 δε [5%] OC,TR § **24:26** οπως λυση αυτον **f**$^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C [5%] NU ¦ two other variants [2%] * **24:26** πυκνοτερον **f**$^{35}$ [20%] ¦ 1 αυτον ℵA,B [75%] HF,RP,OC,TR,CP,NU ¦ 1 αυτων [5%] † **24:26** ωμιλει (B) *rell* ¦ ομιλει [14%] ¦ διελεγετο C ¦ one other variant ‡ **24:27** δε **f**$^{35}$ [55%] OC,CP ¦ τε ℵA,B,C [45%] HF,RP,TR,NU § **24:27** χαριτας **f**$^{35}$ [81%] HF,RP,TR,CP ¦ χαριτα ℵA,B,C [3%] NU ¦ χαριν [16%] OC * **24:27** κατελιπεν *rell* ¦ κατελειπεν A [16%] * **25:1** επαρχια *rell* ¦ επαρχεια B [1%] NU ¦ επαρχιω ℵ [1%] ¦ επαρχειω A ¦ two other variants

τρεῖς ἡμέρας ἀνέβη εἰς Ἱεροσόλυμα ἀπὸ
Καισαρείας. 2 Ἐνεφάνισαν† δὲ‡ αὐτῷ οἱ
ἀρχιερεῖς§ καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων
κατὰ τοῦ Παύλου, καὶ παρεκάλουν αὐτόν,
3 αἰτούμενοι χάριν κατ᾽ αὐτοῦ ὅπως
μεταπέμψηται αὐτὸν εἰς Ἱερουσαλήμ —
ἐνέδραν ποιοῦντες ἀνελεῖν αὐτὸν κατὰ
τὴν ὁδόν. 4 Ὁ μὲν οὖν Φῆστος ἀπεκρίθη
τηρεῖσθαι τὸν Παῦλον ἐν Καισαρείᾳ,* ἑαυτὸν
δὲ μέλλειν ἐν τάχει ἐκπορεύεσθαι. 5 «Οἱ οὖν
δυνατοὶ ἐν ὑμῖν,» φησίν,† «συγκαταβάντες, εἴ
τί ἐστιν ἐν τῷ ἀνδρὶ τούτῳ,‡ κατηγορείτωσαν
αὐτοῦ.» 6 Διατρίψας δὲ ἐν αὐτοῖς ἡμέρας§
πλείους ἢ δέκα,* καταβὰς εἰς Καισάρειαν· τῇ
ἐπαύριον καθίσας† ἐπὶ τοῦ βήματος ἐκέλευσεν
τὸν Παῦλον ἀχθῆναι. 7 Παραγενομένου δὲ
αὐτοῦ, περιέστησαν‡ οἱ ἀπὸ Ἱεροσολύμων
καταβεβηκότες Ἰουδαῖοι, πολλὰ καὶ βαρέα

---

† **25:2** ενεφανισαν *rell* ¦ ανεφανισαν CP ¦ ενεφανησαν [6%] ¦ two other variants ‡ **25:2** δε **f**35 [96%] HF,RP,OC,TR,CP ¦ τε אA,B,C [4%] NU § **25:2** οι αρχιερεις **f**35 אA,B,C [40%] NU ¦ ο αρχιερευς [55%] HF,RP,OC,TR ¦ ο τε αρχιερευς [5%] CP * **25:4** εν καισαρεια **f**35 [96%] HF,RP,OC,TR,CP ¦ εις καισαρειαν (אA)B,C [4%] NU † **25:5** δυνατοι εν υμιν φησιν **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 23 (ημιν א) 41 (א)A,B,C [5%] NU ‡ **25:5** τουτω **f**35 (74.2%) HF,RP,OC,TR,CP ¦ ατοπον אA,B,C (9.4%) NU ¦ 1 ατοπον (13.3%) ¦ ατοπον 1 (3.1%) § **25:6** ημερας **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 1 ου (א)A,B,C [5%] NU * **25:6** η δεκα **f**35 [92%] HF,RP,OC,TR ¦ 1 οκτω CP ¦ οκτω 12 אA,B,C [8%] NU † **25:6** καθισας *rell* ¦ καθησας (A) [15%] ‡ **25:7** περιεστησαν **f**35 [90%] HF,RP,OC,TR,CP ¦ 1 αυτον אA,B,C [9%] NU ¦ 1 αυτω [1%]

αἰτιάματα§ φέροντες κατὰ τοῦ Παύλου* ἃ οὐκ
ἴσχυον ἀποδεῖξαι, 8 ἀπολογουμένου αὐτοῦ†
ὅτι «Οὔτε εἰς τὸν νόμον τῶν Ἰουδαίων οὔτε
εἰς τὸ ἱερὸν οὔτε εἰς Καίσαρά τι‡ ἥμαρτον.»
9 Ὁ Φῆστος δέ, τοῖς Ἰουδαίοις θέλων§ χάριν
καταθέσθαι, ἀποκριθεὶς τῷ Παύλῳ εἶπεν,
«Θέλεις εἰς Ἱεροσόλυμα* ἀναβάς, ἐκεῖ περὶ
τούτων κρίνεσθαι† ὑπʼ‡ ἐμοῦ;» 10 Εἶπεν δὲ ὁ
Παῦλος· «Ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς
εἰμι, οὗ με δεῖ κρίνεσθαι. Ἰουδαίους οὐδὲν
ἠδίκησα, ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις.
11 Εἰ μὲν γὰρ§ ἀδικῶ καὶ ἄξιον θανάτου
πέπραχά τι, οὐ παραιτοῦμαι τὸ* ἀποθανεῖν·
εἰ δὲ οὐδέν ἐστιν ὧν οὗτοι κατηγοροῦσίν
μου, οὐδείς με δύναται αὐτοῖς χαρίσασθαι.
Καίσαρα ἐπικαλοῦμαι.» 12 Τότε ὁ Φῆστος,
συλλαλήσας μετὰ τοῦ συμβουλίου ἀπεκρίθη·
«Καίσαρα ἐπικέκλησαι. Ἐπὶ Καίσαρα
πορεύσῃ.»

---

§ **25:7** αιτιαματα **f**$^{35}$ [70%] TR ¦ αιτιωματα ℵA,B,C [30%] HF,RP,OC,CP,NU ¦ two other variants * **25:7** φεροντες κατα του παυλου **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ καταφεροντες ℵA,B,C [3%] NU ¦ καταφεροντες 34 [1%] ¦ two other variants [1%] † **25:8** απολογουμενου αυτου **f**$^{35}$ [90%] HF,RP,OC,TR,CP ¦ του παυλου 1 ℵA,B,C [10%] NU ‡ **25:8** τι *rell* ¦ — [2%] CP § **25:9** τοις ιουδαιοις θελων **f**$^{35}$ [90%] HF,RP,TR,CP ¦ 312 ℵA,B,C [10%] OC,NU * **25:9** ιεροσολυμα *rell* ¦ ιερουσαλημ OC † **25:9** κρινεσθαι **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ κριθηναι ℵA,B,C [5%] NU ‡ **25:9** ὑπ **f**$^{35}$ [35%] ¦ επ ℵA,B,C [63%] HF,RP,OC,TR,CP,NU ¦ επι [2%] § **25:11** γαρ **f**$^{35}$ [90%] HF,RP,OC,TR,CP ¦ ουν ℵA,B,C [10%] NU * **25:11** το **f**$^{35}$ ℵA,B,C [65%] HF,RP,OC,TR,CP,NU ¦ του [35%]

*Agrippa*

13 Ἡμερῶν δὲ διαγενομένων τινῶν,
Ἀγρίππας ὁ βασιλεὺς καὶ Βερνίκη κατήντησαν
εἰς Καισάρειαν ἀσπασόμενοι† τὸν Φῆστον.
14 Ὡς δὲ πλείους ἡμέρας διέτριβον‡ ἐκεῖ,
ὁ Φῆστος τῷ βασιλεῖ ἀνέθετο τὰ κατὰ
τὸν Παῦλον λέγων· «Ἀνήρ τίς ἐστιν
καταλελειμμένος ὑπὸ Φήλικος§ δέσμιος,
15 περὶ οὗ, γενομένου μου εἰς Ἱεροσόλυμα,
ἐνεφάνισαν οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι
τῶν Ἰουδαίων, αἰτούμενοι κατ᾽ αὐτοῦ δίκην·*
16 πρὸς οὓς ἀπεκρίθην ὅτι οὐκ ἔστιν ἔθος
Ῥωμαίοις χαρίζεσθαί τινα ἄνθρωπον εἰς
ἀπώλειαν† πρὶν ἢ ὁ κατηγορούμενος κατὰ
πρόσωπον ἔχοι τοὺς κατηγόρους, τόπον
τε ἀπολογίας λάβοι περὶ τοῦ ἐγκλήματος.
17 Συνελθόντων οὖν αὐτῶν ἐνθάδε,‡ ἀναβολὴν
μηδεμίαν ποιησάμενος, τῇ ἑξῆς καθίσας
ἐπὶ τοῦ βήματος, ἐκέλευσα ἀχθῆναι τὸν
ἄνδρα· 18 περὶ οὗ σταθέντες οἱ κατήγοροι
οὐδεμίαν αἰτίαν ἐπέφερον§ ὧν ὑπενόουν

† **25:13** ασπασομενοι **f**35 [40%] OC,TR ¦ ασπασαμενοι אA,B [60%] HF,RP,CP,NU ‡ **25:14** διετριβον **f**35 אA(B)C [55%] OC,TR,NU ¦ διετριβεν [45%] HF,RP,CP § **25:14** φηλικος **f**35 אA,B,C [52%] HF,RP,OC,TR,NU ¦ φιληκος [37%] CP ¦ φιλικος [11%] * **25:15** δικην **f**35 [95%] HF,RP,OC,TR,CP ¦ καταδικην אA,B,C [5%] NU † **25:16** εις απωλειαν **f**35 (92.5%) HF,RP,OC,TR,CP ¦ — אA,B,C (7.5%) NU ‡ **25:17** αυτων ενθαδε **f**35 אA (88.8%) HF,RP,OC,TR[NU] ¦ 2 B (7.5%) CP ¦ 21 C (3.7%) § **25:18** επεφερον **f**35 [85%] HF,RP,OC,TR,CP ¦ εφερον אA,B,C [10%] NU ¦ υπεφερον [5%]

ἐγώ,* 19 ζητήματα δέ τινα περὶ τῆς ἰδίας
δεισιδαιμονίας† εἶχον πρὸς αὐτόν, καὶ
περί τινος Ἰησοῦ τεθνηκότος ὃν ἔφασκεν
ὁ Παῦλος ζῆν. 20 Ἀπορούμενος δὲ ἐγὼ‡
περὶ τὴν§ τούτων* ζήτησιν, ἔλεγον εἰ
βούλοιτο πορεύεσθαι εἰς Ἱερουσαλὴμ† κἀκεῖ
κρίνεσθαι περὶ τούτων. 21 Τοῦ δὲ Παύλου
ἐπικαλεσαμένου τηρηθῆναι αὐτὸν εἰς τὴν τοῦ
Σεβαστοῦ διάγνωσιν, ἐκέλευσα τηρεῖσθαι
αὐτὸν ἕως οὗ πέμψω‡ αὐτὸν πρὸς Καίσαρα.»
22 Ἀγρίππας δὲ πρὸς τὸν Φῆστον ἔφη,§
«Ἐβουλόμην καὶ αὐτὸς τοῦ ἀνθρώπου
ἀκοῦσαι.» Ὁ δέ,* «Αὔριον,» φησίν, «ἀκούσῃ
αὐτοῦ.» 23 Τῇ οὖν ἐπαύριον, ἐλθόντος
τοῦ Ἀγρίππα καὶ τῆς Βερνίκης μετὰ
πολλῆς φαντασίας καὶ εἰσελθόντων εἰς
τὸ ἀκροατήριον,† σύν τε τοῖς‡ χιλιάρχοις

---

* **25:18** υπενοουν εγω **f**[35] [91%] HF,RP,OC,TR,CP ¦ 12 πονηραν [5%] ¦ 21 πονηρων B [1%] NU ¦ 21 πονηραν (א)A,C [3%] † **25:19** δεισιδαιμονιας *rell* ¦ δυσειδαιμονιας CP ¦ δισιδαιμονιας אA,B [2%] ¦ three other variants ‡ **25:20** εγω **f**[35] אA,B [90%] HF,RP,OC,CP,NU ¦ 1 εις C [10%] TR § **25:20** περι την **f**[35] [22%] ¦ 2 [2%] ¦ 21 אA,B,C [76%] HF,RP,OC,TR,CP,NU * **25:20** τουτων **f**[35] אA,B,C [35%] NU ¦ τουτου [65%] HF,RP,OC,TR,CP † **25:20** ιερουσαλημ **f**[35] [80%] HF,RP,TR,CP ¦ ιεροσολυμα אA,B,C [20%] OC,NU ‡ **25:21** πεμψω **f**[35] [87%] HF,RP,OC,TR,CP ¦ αναπεμψω אA,B,C [8%] NU ¦ πεμψας [5%] § **25:22** εφη **f**[35] C [98%] HF,RP,OC,TR,CP ¦ — אA,B [2%] NU * **25:22** ο δε **f**[35] C [98%] HF,RP,OC,TR,CP ¦ — אA,B [2%] NU † **25:23** ακροατηριον *rell* ¦ ακροτηριον (א) [17%] ¦ πραιτωριον [5%] ‡ **25:23** τοις **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [7%] NU

καὶ ἀνδράσιν τοῖς κατʼ ἐξοχὴν οὖσιν§ τῆς
πόλεως, καὶ κελεύσαντος τοῦ Φήστου, ἤχθη
ὁ Παῦλος. 24 Καί φησιν ὁ Φῆστος· «Ἀγρίππα
βασιλεῦ, καὶ πάντες οἱ συμπαρόντες ἡμῖν
ἄνδρες· θεωρεῖτε τοῦτον, περὶ οὗ πᾶν* τὸ
πλῆθος τῶν Ἰουδαίων ἐνέτυχόν μοι, ἔν τε
Ἱεροσολύμοις καὶ ἐνθάδε, ἐπιβοῶντες† μὴ δεῖν
ζῆν αὐτὸν‡ μηκέτι. 25 Ἐγὼ δὲ καταλαβόμενος§
μηδὲν ἄξιον θανάτου αὐτὸν* πεπραχέναι,
καὶ† αὐτοῦ δὲ τούτου ἐπικαλεσαμένου τὸν
Σεβαστόν, ἔκρινα πέμπειν αὐτόν.‡ 26 Περὶ οὗ
ἀσφαλές τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω. Διὸ
προήγαγον αὐτὸν ἐφʼ ὑμῶν, καὶ μάλιστα ἐπὶ
σοῦ, Βασιλεῦ Ἀγρίππα, ὅπως τῆς ἀνακρίσεως
γενομένης§ σχῶ τι γράψαι.* 27 Ἄλογον γάρ
μοι δοκεῖ πέμποντα δέσμιον, μὴ καὶ τὰς κατʼ
αὐτοῦ αἰτίας σημᾶναι.»

# 26

## *Paul’s defense*

---

§ **25:23** ουσιν **f**35 [96%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C [4%] NU * **25:24** παν **f**35 [89%] HF,RP,OC,TR,CP ¦ απαν ℵA,B,C [10%] NU ¦ — [1%] † **25:24** επιβοωντες **f**35 C [98%] HF,RP,OC,TR,CP ¦ βοωντες ℵA,B [2%] NU ‡ **25:24** ζην αυτον **f**35 [85%] HF,RP,OC,TR,CP ¦ 21 ℵA,C [15%] NU ¦ 2 B § **25:25** καταλαβομενος **f**35 ℵ [95%] HF,RP,OC,TR,CP ¦ κατελαβομην A,B,C [5%] NU * **25:25** θανατου αυτον **f**35 ℵ [97%] HF,RP,OC,TR,CP ¦ 21 A,B,C [3%] NU † **25:25** και **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C [5%] NU ‡ **25:25** αυτον **f**35 [96%] HF,RP,OC,TR,CP ¦ — ℵA,B,C [4%] NU § **25:26** γενομενης *rell* ¦ γινομενης [24%] ¦ one other variant * **25:26** γραψαι **f**35 [93%] HF,RP,OC,TR,CP ¦ γραψω ℵA,B,C [7%] NU

1 Ἀγρίππας δὲ πρὸς τὸν Παῦλον ἔφη,
«Ἐπιτρέπεταί σοι ὑπὲρ* σεαυτοῦ λέγειν.»
Τότε ὁ Παῦλος ἀπελογεῖτο, ἐκτείνας τὴν
χεῖρα·† 2 «Περὶ πάντων ὧν ἐγκαλοῦμαι ὑπὸ
Ἰουδαίων, Βασιλεῦ Ἀγρίππα, ἥγημαι ἐμαυτὸν
μακάριον ἐπὶ σοῦ μέλλων ἀπολογεῖσθαι
σήμερον,‡ 3 μάλιστα γνώστην ὄντα σε πάντων
τῶν κατὰ Ἰουδαίους ἐθῶν§ τε καὶ ζητημάτων·
διὸ δέομαί σου* μακροθύμως ἀκοῦσαί μου.
4 Τὴν μὲν οὖν βίωσίν μου τὴν† ἐκ νεότητος,
τὴν ἀπ᾽ ἀρχῆς γενομένην ἐν τῷ ἔθνει‡ μου ἐν§
Ἱεροσολύμοις, ἴσασιν πάντες οἱ* Ἰουδαῖοι,
5 προγινώσκοντές με ἄνωθεν, ἐὰν θέλωσιν
μαρτυρεῖν, ὅτι κατὰ τὴν ἀκριβεστάτην
αἵρεσιν τῆς ἡμετέρας θρησκείας ἔζησα
Φαρισαῖος. 6 Καὶ νῦν ἐπ᾽ ἐλπίδι τῆς πρὸς†
τοὺς πατέρας‡ ἐπαγγελίας γενομένης ὑπὸ
τοῦ Θεοῦ ἕστηκα κρινόμενος, 7 εἰς ἣν τὸ

---

* **26:1** υπερ **f**$^{35}$ B [84%] HF,RP,OC,TR,CP ¦ περι אA,C [16%] NU † **26:1** απελογειτο εκτεινας την χειρα **f**$^{35}$ [95%] HF,RP,TR,CP ¦ 2341 (א)A,B,C [5%] OC,NU ‡ **26:2** επι σου μελλων απολογεισθαι σημερον **f**$^{35}$ [85%] HF,RP,OC,CP ¦ 12354 (א)(A)B,C [15%] NU ¦ 34125 TR ¦ one other variant § **26:3** εθων **f**$^{35}$ אB [62%] OC,TR,NU ¦ ηθων [37%] HF,RP,CP ¦ εθνων A,C [1%] * **26:3** σου **f**$^{35}$ C [88%] HF,RP,OC,TR,CP ¦ — א(A)B [12%] NU † **26:4** την **f**$^{35}$ אA [82%] HF,RP,OC,TR,CP[NU] ¦ — B,C [18%] ‡ **26:4** εθνει *rell* ¦ εθνη [14%] ¦ εθνι א [1%] § **26:4** εν **f**$^{35}$ C [97%] HF,RP,OC,TR,CP ¦ 1 τε אA,B [3%] NU * **26:4** οι **f**$^{35}$ אA [75%] HF,RP,OC,TR,CP[NU] ¦ — B,C [25%] † **26:6** προς **f**$^{35}$ C [90%] HF,RP,OC,TR,CP ¦ εις אA,B [10%] NU ‡ **26:6** πατερας **f**$^{35}$ [78%] HF,RP,OC,TR,CP ¦ 1 ημων אA,B,C [22%] NU

δωδεκάφυλον ἡμῶν, ἐν ἐκτενίᾳ§ νύκτα καὶ
ἡμέραν λατρεῦον,* ἐλπίζει καταντῆσαι. Περὶ
ἧς ἐλπίδος ἐγκαλοῦμαι, Βασιλεῦ Ἀγρίππα,
ὑπὸ Ἰουδαίων.† 8 Τί ἄπιστον κρίνεται παρ᾽
ὑμῖν εἰ ὁ Θεὸς νεκροὺς ἐγείρει;

*How he persecuted Christians*

9 »Ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ
ὄνομα Ἰησοῦ τοῦ Ναζωραίου δεῖν πολλὰ
ἐναντία πρᾶξαι· 10 ὃ καὶ ἐποίησα ἐν
Ἱεροσολύμοις, καὶ πολλοὺς‡ τῶν ἁγίων
ἐγὼ§ φυλακαῖς κατέκλεισα, τὴν παρὰ τῶν
ἀρχιερέων ἐξουσίαν λαβών· ἀναιρουμένων
τε* αὐτῶν κατήνεγκα ψῆφον. 11 Καὶ κατὰ
πάσας τὰς συναγωγὰς πολλάκις τιμωρῶν
αὐτούς, ἠνάγκαζον βλασφημεῖν· περισσῶς τε
ἐμμαινόμενος αὐτοῖς, ἐδίωκον ἕως καὶ εἰς
τὰς ἔξω πόλεις.

*How Jesus chose him*

12 »Ἐν οἷς καὶ† πορευόμενος εἰς‡ Δαμασκὸν
μετ᾽ ἐξουσίας καὶ ἐπιτροπῆς τῆς παρὰ§

---

§ **26:7** εκτενια **f**35 A,C [69%] ¦ εκτενεια אB [31%] HF,RP,OC,TR,CP,NU * **26:7** λατρευον *rell* ¦ λατρευων [16%] † **26:7** βασιλευ αγριππα υπο ιουδαιων **f**35 [87%] HF,RP(CP) ¦ 3412 [9%] ¦ 123 των 4 OC,TR ¦ 341 אB,C [3%] NU ¦ 34 A [1%] ¦ one other variant (OC is in small print) ‡ **26:10** πολλους **f**35 B [95%] HF,RP,OC,TR,CP ¦ πολους τε אA,C [5%] NU § **26:10** εγω **f**35 [85%] HF,RP,TR,CP ¦ 1 εν אA,B,C [15%] OC,NU * **26:10** τε *rell* ¦ δε [25%] ¦ one other variant † **26:12** και **f**35 [83%] HF,RP,OC,TR,CP ¦ — אA,B,C [17%] NU (OC is in small print) ‡ **26:12** εις **f**35 A [32%] ¦ 1 την אB,C [68%] HF,RP,OC,TR,CP,NU § **26:12** παρα **f**35 C [95%] HF,RP,OC,TR,CP ¦ — אA,B [5%] NU

τῶν ἀρχιερέων, 13 ἡμέρας μέσης κατὰ τὴν
ὁδὸν εἶδον,* βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν
λαμπρότητα τοῦ ἡλίου, περιλάμψαν με φῶς
καὶ τοὺς σὺν ἐμοὶ πορευομένους. 14 Πάντων
δὲ† καταπεσόντων ἡμῶν εἰς τὴν γῆν, ἤκουσα
φωνὴν λαλοῦσαν πρός με καὶ λέγουσαν‡
τῇ Ἑβραΐδι διαλέκτῳ· ‹Σαούλ, Σαούλ, τί με
διώκεις; Σκληρόν σοι πρὸς κέντρα λακτίζειν.›
15 Ἐγὼ δὲ εἶπον,§ ‹Τίς εἶ, Κύριε;› Ὁ δὲ* εἶπεν·
‹Ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις. 16 Ἀλλὰ
ἀνάστηθι καὶ στῆθι ἐπὶ τοὺς πόδας σου·
εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρίσασθαί
σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε εἶδες† ὧν
τε ὀφθήσομαί σοι, 17 ἐξαιρούμενός σε ἐκ
τοῦ λαοῦ καὶ‡ τῶν ἐθνῶν, εἰς οὓς ἐγώ§ σε
ἀποστέλλω·* 18 ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν,
τοῦ ἐπιστρέψαι† ἀπὸ σκότους εἰς φῶς καὶ‡

---

* **26:13** ειδον *rell* ¦ ιδον A [16%] ¦ ιδου C ¦ one other variant † **26:14** δε **f**$^{35}$ C [90%] HF,RP,OC,TR,CP ¦ τε ℵA,B [10%] NU ‡ **26:14** λαλουσαν προς με και λεγουσαν **f**$^{35}$ (74.6%) HF,RP,OC,TR,CP ¦ λαλουσης 234 λεγουσης (1.4%) ¦ 123 (7.4%) ¦ 523 ℵA,B,C (8.6%) NU ¦ λεγουσης 23 (4.7%) ¦ 5 μοι (2.5%) ¦ three other variants (0.8%) § **26:15** ειπον **f**$^{35}$ ℵ [65%] HF,RP,OC,TR,CP ¦ ειπα A,B,C [35%] NU * **26:15** δε **f**$^{35}$ [85%] HF,RP,OC,TR,CP ¦ 1 κυριος ℵA,B,C [15%] NU † **26:16** ειδες **f**$^{35}$ ℵ [87%] HF,RP,OC,TR ¦ 1 με B(C) [4%] [NU] ¦ οιδες CP ¦ ιδες A,C [9%] ‡ **26:17** και **f**$^{35}$ C [94%] HF,RP,OC,TR,CP ¦ 1 εκ ℵA,B [6%] NU § **26:17** εγω *rell* ¦ νυν [5%] TR * **26:17** σε αποστελλω **f**$^{35}$ [50%] HF,RP,OC,TR,CP ¦ 1 αποστελω [35%] ¦ αποστελω 1 [9%] ¦ 21 ℵA,B [2%] NU ¦ εξαποστελλω 1 C [2%] ¦ εξαποστελω 1 [2%] † **26:18** επιστρεψαι **f**$^{35}$ ℵB,C [30%] OC,TR,CP,NU ¦ υποστρεψαι [35%] HF,RP ¦ αποστρεψαι A [35%] ‡ **26:18** και *rell* ¦ 1 απο C [20%]

τῆς ἐξουσίας τοῦ Σατανᾶ ἐπὶ τὸν Θεόν, τοῦ
λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν καὶ κλῆρον
ἐν τοῖς ἡγιασμένοις, πίστει τῇ εἰς ἐμέ.›
19 Ὅθεν, Βασιλεῦ§ Ἀγρίππα, οὐκ ἐγενόμην
ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ 20 —ἀλλὰ τοῖς
ἐν Δαμασκῷ πρῶτον* καὶ Ἱεροσολύμοις, εἰς†
πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας καὶ
τοῖς ἔθνεσιν, ἀπαγγέλλω·‡ ‹μετανοεῖν§ καὶ
ἐπιστρέφειν ἐπὶ τὸν Θεόν, ἄξια τῆς μετανοίας
ἔργα πράσσοντας.› 21 Ἕνεκα τούτων με
οἱ Ἰουδαῖοι συλλαβόμενοι* ἐν† τῷ ἱερῷ
ἐπειρῶντο διαχειρίσασθαι. 22 Ἐπικουρίας
οὖν τυχὼν τῆς παρὰ‡ τοῦ Θεοῦ, ἄχρι τῆς
ἡμέρας ταύτης ἕστηκα μαρτυρόμενος§ μικρῷ
τε καὶ μεγάλῳ, οὐδὲν ἐκτὸς λέγων ὧν τε
οἱ προφῆται ἐλάλησαν μελλόντων γίνεσθαι*
καὶ Μωϋσῆς† 23 —εἰ παθητὸς ὁ Χριστός· εἰ

---

§ **26:19** βασιλευ *rell* ¦ βασιλευς [2%] CP * **26:20** πρωτον **f**35 [98%] HF,RP,OC,TR,CP ¦ 1 τε ℵA,B [2%] NU † **26:20** εις **f**35 [98%] HF,RP,OC,TR,CP ¦ — ℵA,B [2%] NU ‡ **26:20** απαγγελλω **f**35 [61%] OC ¦ απαγγελλων [20%] HF,RP,TR ¦ απηγγελλον ℵA,B [9%] CP,NU ¦ απηγγελλων [8%] ¦ three other variants [2%] § **26:20** μετανοειν *rell* ¦ μετανοιαν CP * **26:21** με οι ιουδαιοι συλλαβομενοι **f**35 [84%] HF,OC,TR,CP ¦ 2314 [5%] RP ¦ 134 B [5%] NU ¦ 314 [4%] ¦ 2341 A [1%] ¦ 13 συλλαβουμενοι ℵ ¦ two other variants [1%] † **26:21** εν **f**35 A,B [94%] HF,RP,OC,TR,CP ¦ οντα 1 ℵ [6%] [NU] ‡ **26:22** παρα **f**35 [93%] HF,RP,OC,TR,CP ¦ απο ℵA,B [5%] NU ¦ υπο [2%] § **26:22** μαρτυρομενος **f**35 ℵA,B [75%] HF,RP,OC,CP,NU ¦ μαρτυρουμενος [12%] TR ¦ μαρτυρωμενος [13%] * **26:22** γινεσθαι *rell* ¦ γενεσθαι [1%] OC † **26:22** μωυσης *rell* ¦ μωσης A,B [13%] TR

πρῶτος ἐξ ἀναστάσεως νεκρῶν φῶς μέλλει‡
καταγγέλλειν τῷ τε§ λαῷ καὶ τοῖς ἔθνεσιν.»

*Festus interrupts*

24 Ταῦτα δὲ αὐτοῦ ἀπολογουμένου, ὁ Φῆστος
μεγάλῃ τῇ φωνῇ ἔφη·* «Μαίνῃ, Παῦλε· τὰ
πολλά σε γράμματα εἰς μανίαν περιτρέπει.»
25 Ὁ δέ·† «Οὐ μαίνομαι,» φησίν, «κράτιστε
Φῆστε· ἀλλὰ‡ ἀληθείας καὶ σωφροσύνης
ῥήματα ἀποφθέγγομαι. 26 Ἐπίσταται γὰρ
περὶ τούτων ὁ βασιλεύς, πρὸς ὃν καὶ
παρρησιαζόμενος λαλῶ· λανθάνειν γὰρ αὐτόν
τι§ τούτων οὐ* πείθομαι οὐδέν,† οὐ‡ γὰρ§ ἐν
γωνίᾳ πεπραγμένον τοῦτο.* 27 Πιστεύεις,
Βασιλεῦ Ἀγρίππα, τοῖς προφήταις; Οἶδα
ὅτι πιστεύεις.» 28 Ὁ δὲ Ἀγρίππας πρὸς
τὸν Παῦλον ἔφη,† «Ἐν ὀλίγῳ με πείθεις
Χριστιανὸν γενέσθαι.»‡ 29 Ὁ δὲ Παῦλος εἶπεν,§

---

‡ **26:23** μελλει *rell* ¦ μελλειν [18%] ¦ μελλιν א ¦ one other variant § **26:23** τε **f**$^{35}$ אA,B [60%] NU ¦ — [40%] HF,RP,OC,TR,CP * **26:24** εφη **f**$^{35}$ [83%] HF,RP,OC,TR,CP ¦ φησιν אA,B [15%] NU ¦ ειπεν [2%] † **26:25** δε **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ 1 παυλος אA,B [5%] NU ‡ **26:25** αλλα *rell* ¦ αλλ B [12%] TR § **26:26** τι **f**$^{35}$ אA [96%] HF,RP,OC,TR,CP[NU] ¦ — B [4%] * **26:26** ου *rell* ¦ — [12%] ¦ ουδεν [2%] † **26:26** ουδεν **f**$^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ — A [4%] ¦ ουθεν אB [2%] NU ‡ **26:26** ου *rell* ¦ — CP ¦ ουδε [15%] § **26:26** γαρ **f**$^{35}$ [75%] HF,RP,CP ¦ 1 εστιν אA,B [25%] OC,TR,NU * **26:26** τουτο *rell* ¦ 1 εστι CP † **26:28** εφη **f**$^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ — אA,B [6%] NU ‡ **26:28** γενεσθαι **f**$^{35}$ (96.5%) HF,RP,OC,TR,CP ¦ ποιησαι אA,B (3.5%) NU § **26:29** ειπεν **f**$^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ — אA,B [6%] NU

«Εὐξαίμην* ἂν τῷ Θεῷ, καὶ ἐν ὀλίγῳ καὶ ἐν
πολλῷ,† οὐ μόνον σέ ἀλλὰ καὶ πάντας τοὺς
ἀκούοντάς μου σήμερον γενέσθαι τοιούτους
ὁποῖος κἀγώ‡ εἰμι, παρεκτὸς τῶν δεσμῶν
τούτων.»
30 Καὶ ταῦτα εἰπόντος αὐτοῦ, ἀνέστη§ ὁ
βασιλεύς, καὶ ὁ ἡγεμὼν ἥ τε Βερνίκη, καὶ οἱ
συγκαθήμενοι αὐτοῖς· 31 καὶ ἀναχωρήσαντες
ἐλάλουν πρὸς ἀλλήλους, λέγοντες ὅτι
«Οὐδὲν θανάτου ἄξιον ἢ δεσμῶν* πράσσει† ὁ
ἄνθρωπος οὗτος.» 32 Ἀγρίππας δὲ τῷ Φήστῳ
ἔφη, «Ἀπολελύσθαι ἐδύνατο‡ ὁ ἄνθρωπος
οὗτος, εἰ μὴ ἐπεκέκλητο§ Καίσαρα.»

# 27

### *Paul sent to Rome*

1 Ὡς δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς εἰς τὴν
Ἰταλίαν, παρεδίδουν τόν τε Παῦλον καί τινας
ἑτέρους δεσμώτας ἑκατοντάρχῃ ὀνόματι
Ἰουλίῳ, σπείρας* Σεβαστῆς. 2 Ἐπιβάντες

* **26:29** ευξαιμην **f**[35] A,B [60%] HF,RP,OC,TR,CP,NU ¦ ευξαμην **f**[35pt] א [40%] † **26:29** πολλω **f**[35] [94%] HF,RP,OC,TR,CP ¦ μεγαλω אA,B [6%] NU ‡ **26:29** καγω **f**[35] אA [96%] HF,RP,OC,TR,CP ¦ και εγω B [4%] NU § **26:30** και ταυτα ειποντος αυτου ανεστη **f**[35] [93%] HF,RP,OC,TR,CP ¦ 5 τε אA,B [3%] NU ¦ 5 δε [2%] ¦ three other variants [2%] * **26:31** θανατου αξιον η δεσμων **f**[35] [89%] HF,RP,OC,TR,CP ¦ 1342 אB [5%] NU ¦ 2134 A [6%] † **26:31** πρασσει **f**[35] B [93%] HF,RP,OC,TR,CP ¦ τι 1 אA [7%] [NU] ‡ **26:32** εδυνατο *rell* ¦ ηδυνατο [20%] CP ¦ two other variants § **26:32** επεκεκλητο *rell* ¦ επικεκλητο [20%] CP ¦ three other variants * **27:1** σπειρας **f**[35] [35%] ¦ σπειρης אA,B [65%] HF,RP,OC,TR,CP,NU

δὲ πλοίῳ Ἀτραμυτινῷ,† μέλλοντες‡ πλεῖν§
τοὺς κατὰ τὴν Ἀσίαν τόπους, ἀνήχθημεν·
ὄντος σὺν ἡμῖν Ἀριστάρχου, Μακεδόνος
Θεσσαλονικέως. 3 Τῇ τε* ἑτέρᾳ κατήχθημεν
εἰς Σιδῶνα· φιλανθρώπως† τε ὁ Ἰούλιος τῷ
Παύλῳ χρησάμενος ἐπέτρεψεν πρὸς τοὺς‡
φίλους πορευθέντα§ ἐπιμελείας τυχεῖν.
4 Κἀκεῖθεν ἀναχθέντες, ὑπεπλεύσαμεν τὴν
Κύπρον, διὰ τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους.
5 Τό τε πέλαγος τὸ κατὰ τὴν Κιλικίαν καὶ
Παμφυλίαν διαπλεύσαντες, κατήχθημεν*
εἰς Μύρα τῆς Λυκίας. 6 Κἀκεῖ εὑρὼν ὁ
ἑκατόνταρχος† πλοῖον Ἀλεξανδρῖνον‡ πλέον
εἰς§ Ἰταλίαν, ἐνεβίβασεν* ἡμᾶς εἰς αὐτό. 7 Ἐν

---

† **27:2** ατραμυτινω **f**35 [21%] ¦ αδραμυτινω [13%] ¦ ατραμυττινω [6%] ¦ αδραμυττινω [4%] ¦ αδραμυντινω [5%] ¦ ατραμυτηνω [12%] ¦ αδραμυτηνω [9%] CP ¦ αδραμυττηνω א [25%] HF,RP,OC,TR,NU ¦ αραμμυτηνω [4%] ¦ αδραμυντηνω A,B ‡ **27:2** μελλοντες **f**35 [75%] HF,RP,OC,TR,CP ¦ μελλοντι אA,B [16%] NU ¦ μελλοντα [4%] ¦ μελλοντων [5%] § **27:2** πλειν **f**35 [90%] HF,RP,OC,TR,CP ¦ 1 εις אA,B [8%] NU ¦ επι [2%] * **27:3** τε *rell* ¦ — [3%] CP ¦ δε [5%] † **27:3** φιλανθρωπως *rell* ¦ φιλανθροπως [1%] CP ¦ φιλανθρωπος [5%] ‡ **27:3** τους *rell* ¦ — [5%] TR (OC is in small print) § **27:3** πορευθεντα **f**35 [87%] HF,RP,OC,TR,CP ¦ πορευθεντι אA,B [4%] NU ¦ πορευθεντας [5%] ¦ απελθοντα [4%] * **27:5** κατηχθημεν **f**35 [23%] CP ¦ κατηλθομεν B [71%] HF,RP,OC,TR,NU ¦ κατηλθαμεν אA [1%] ¦ ηλθομεν [5%] ¦ one other variant † **27:6** εκατονταρχος **f**35 [97%] HF,RP,TR,CP ¦ εκατονταρχης אA,B [3%] OC,NU ‡ **27:6** αλεξανδρινον *rell* ¦ αλεξανδρηνον [22%] § **27:6** εις **f**35 [30%] ¦ 1 την אA,B [70%] HF,RP,OC,TR,CP,NU * **27:6** ενεβιβασεν *rell* ¦ ανεβιβασεν [25%] ¦ ενεβηβασεν [15%] ¦ επεβιβασεν [1%] ¦ one other variant

ἱκαναῖς δὲ ἡμέραις βραδυπλοοῦντες καὶ μόλις
γενόμενοι κατὰ τὴν Κνίδον, μὴ προσεῶντος
ἡμᾶς τοῦ ἀνέμου, ὑπεπλεύσαμεν τὴν Κρήτην
κατὰ Σαλμώνην· 8 μόλις τε παραλεγόμενοι
αὐτὴν ἤλθομεν εἰς τόπον τινὰ καλούμενον
Καλοὺς Λιμένας, ᾧ ἐγγὺς ἦν πόλις† Λασαία.

### *A difference of opinion*

9 Ἱκανοῦ δὲ χρόνου διαγενομένου καὶ ὄντος
ἤδη ἐπισφαλοῦς τοῦ πλοός, διὰ τὸ καὶ
τὴν Νηστείαν ἤδη παρεληλυθέναι· παρῄνει ὁ
Παῦλος 10 λέγων αὐτοῖς, «Ἄνδρες, θεωρῶ‡ ὅτι
μετὰ ὕβρεως καὶ πολλῆς ζημίας, οὐ μόνον
τοῦ φόρτου§ καὶ τοῦ πλοίου ἀλλὰ καὶ τῶν
ψυχῶν ἡμῶν, μέλλειν ἔσεσθαι τὸν πλοῦν.»
11 Ὁ δὲ ἑκατόνταρχος* τῷ κυβερνήτῃ καὶ τῷ
ναυκλήρῳ ἐπείθετο μᾶλλον† ἢ τοῖς ὑπὸ τοῦ‡
Παύλου λεγομένοις. 12 Ἀνευθέτου δὲ τοῦ
λιμένος ὑπάρχοντος πρὸς παραχειμασίαν, οἱ
πλείους§ ἔθεντο βουλὴν ἀναχθῆναι ἐκεῖθεν,*
εἴ πως δύναιντο καταντήσαντες εἰς Φοίνικα
παραχειμάσαι, λιμένα τῆς Κρήτης βλέποντα
κατὰ λίβα καὶ κατὰ χῶρον.

---

† **27:8** ην πολις **f**[35] B [95%] HF,RP,OC,TR,CP ¦ 21 ℵA [5%] NU ‡ **27:10** θεωρω *rell* ¦ θεορω ℵ [13%] § **27:10** φορτου **f**[35] [30%] OC,TR ¦ φορτιου ℵA,B [70%] HF,RP,CP,NU * **27:11** εκατονταρχος **f**[35] [50%] TR ¦ εκατονταρχης ℵA,B [50%] HF,RP,OC,CP,NU † **27:11** επειθετο μαλλον **f**[35] [85%] HF,RP,OC,TR,CP ¦ 21 (ℵA)B [15%] NU ‡ **27:11** του **f**[35] [92%] HF,RP,OC,TR,CP ¦ — ℵA,B [8%] NU § **27:12** πλειους **f**[35] [91%] HF,RP,OC,TR,CP ¦ πλειονες ℵA,B [4%] NU ¦ πλειων [5%] * **27:12** εκειθεν **f**[35] ℵA,B [80%] NU ¦ κακειθεν [20%] HF,RP,OC,TR,CP

*The storm*

13 Ὑποπνεύσαντος δὲ νότου, δόξαντες
τῆς προθέσεως κεκρατηκέναι, ἄραντες
ἆσσον παρελέγοντο τὴν Κρήτην. 14 Μετʼ
οὐ πολὺ δέ, ἔβαλεν κατʼ αὐτῆς ἄνεμος
τυφωνικός (ὁ καλούμενος Εὐροκλύδων).†
15 Συναρπασθέντος δὲ τοῦ πλοίου, καὶ
μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ,
ἐπιδόντες‡ ἐφερόμεθα. 16 Νησίον δέ τι
ὑποδραμόντες καλούμενον Κλαύδην,§ μόλις
ἰσχύσαμεν* περικρατεῖς γενέσθαι τῆς
σκάφης· 17 ἣν ἄραντες, βοηθείαις† ἐχρῶντο,
ὑποζωννύντες τὸ πλοῖον· φοβούμενοί τε μὴ
είς τὴν Σύρτιν‡ ἐκπέσωσιν, χαλάσαντες
τὸ σκεῦος, οὕτως ἐφέροντο. 18 Σφοδρῶς
δὲ χειμαζομένων ἡμῶν, τῇ ἑξῆς ἐκβολὴν
ἐποιοῦντο, 19 καὶ τῇ τρίτῃ αὐτόχειρες τὴν
σκευὴν τοῦ πλοίου ἐρρίψαμεν.§ 20 Μήτε
δὲ ἡλίου μήτε ἄστρων ἐπιφαινόντων ἐπὶ
πλείονας ἡμέρας, χειμῶνός τε οὐκ ὀλίγου
ἐπικειμένου, λοιπὸν περιῃρεῖτο πᾶσα ἐλπὶς*

---

† **27:14** ευροκλυδων $\mathbf{f}^{35}$ (95.3%) HF,RP,OC,TR,CP ¦ ευρυκλυδων (1.4%) ¦ ευρωκλυδων (0.8%) ¦ ευρακυλων אA,B (0.8%) NU ¦ seven other variants (1.7%) ‡ **27:15** επιδοντες *rell* ¦ επιδιδοντες [2%] CP ¦ one other variant § **27:16** κλαυδην $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ κλαυδα א$A^{V}$ [4%] ¦ καυδα B [1%] NU * **27:16** μολις ισχυσαμεν $\mathbf{f}^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ 21 אA,B [5%] NU † **27:17** βοηθειαις *rell* ¦ βοηθειας C [15%] ¦ βοηθιαν א ¦ one other variant ‡ **27:17** συρτιν $\mathbf{f}^{35}$ אA,B,C [45%] OC,TR,NU ¦ συρτην [55%] HF,RP,CP § **27:19** ερριψαμεν $\mathbf{f}^{35}$ [90%] HF,RP,OC,TR,CP ¦ ερριψαν (א)A(B)C [10%] NU * **27:20** πασα ελπις $\mathbf{f}^{35}$ אC [95%] HF,RP,OC,TR,CP ¦ 21 A,B [5%] NU

τοῦ σῴζεσθαι ἡμᾶς.

21 Πολλῆς δὲ† ἀσιτίας ὑπαρχούσης, τότε
σταθεὶς ὁ Παῦλος ἐν μέσῳ αὐτῶν εἶπεν·
«Ἔδει μέν, ὦ ἄνδρες, πειθαρχήσαντάς μοι
μὴ ἀνάγεσθαι ἀπὸ τῆς Κρήτης, κερδῆσαί τε
τὴν ὕβριν ταύτην καὶ τὴν ζημίαν. 22 Καὶ
τὰ νῦν παραινῶ ὑμᾶς εὐθυμεῖν, ἀποβολὴ γὰρ
ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν, πλὴν τοῦ
πλοίου. 23 Παρέστη γάρ μοι ταύτῃ τῇ νυκτὶ‡
ἄγγελος τοῦ Θεοῦ οὗ εἰμι, ᾧ καὶ λατρεύω,§
24 λέγων· ‹Μὴ φοβοῦ, Παῦλε· Καίσαρί σε δεῖ
παραστῆναι. Καὶ ἰδού, κεχάρισταί σοι ὁ Θεὸς
πάντας τοὺς πλέοντας μετὰ σοῦ.› 25 Διὸ
εὐθυμεῖτε, ἄνδρες· πιστεύω γὰρ τῷ Θεῷ ὅτι
οὕτως ἔσται καθ᾽ ὃν τρόπον λελάληταί μοι.
26 Εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν.»

27 Ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο,
διαφερομένων ἡμῶν ἐν τῷ Ἀδρίᾳ, κατὰ
μέσον τῆς νυκτὸς ὑπενόουν οἱ ναῦται
προσάγειν τινὰ αὐτοῖς χώραν. 28 Καὶ
βολίσαντες εὗρον ὀργυιὰς* εἴκοσι· βραχὺ
δὲ διαστήσαντες, καὶ πάλιν βολίσαντες,
εὗρον ὀργυιὰς δεκαπέντε· 29 φοβούμενοί τε

† **27:21** δε **f**[35] [90%] HF,RP,OC,TR,CP ¦ τε אA,B,C [10%] NU ‡ **27:23** ταυτη τη νυκτι **f**[35] A,B,C [95%] HF,RP,CP,NU ¦ 231 [5%] OC,TR ¦ τηδε 23 א § **27:23** αγγελος του θεου ου ειμι ω και λατρευω **f**[35] [84%] HF,RP,OC,TR,CP ¦ 23456781 B,C [4%] ¦ 2345 εγω 6781 אA [1%] [NU] ¦ 12345 εγω 678 [10%] ¦ three other variants [1%] * **27:28** οργυιας *rell* ¦ οργυας [5%] CP (twice in this verse) ¦ several further spellings

μή πῶς† εἰς‡ τραχεῖς τόπους ἐκπέσωμεν,§
ἐκ πρύμνης ῥίψαντες ἀγκύρας τέσσαρας,
ηὔχοντο* ἡμέραν γενέσθαι. 30 Τῶν δὲ
ναυτῶν ζητούντων φυγεῖν ἐκ τοῦ πλοίου καὶ
χαλασάντων τὴν σκάφην εἰς τὴν θάλασσαν,
προφάσει ὡς ἐκ πρῴρας† μελλόντων ἀγκύρας‡
ἐκτείνειν· 31 εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ
καὶ τοῖς στρατιώταις, «Ἐὰν μὴ οὗτοι ἐν τῷ
πλοίῳ μείνωσιν,§ ὑμεῖς σωθῆναι οὐ δύνασθε.»
32 Τότε οἱ στρατιῶται ἀπέκοψαν* τὰ σχοινία
τῆς σκάφης καὶ εἴασαν αὐτὴν ἐκπεσεῖν.
33 Ἄχρι δὲ οὗ ἔμελλεν ἡμέρα† γίνεσθαι,‡
παρεκάλει ὁ Παῦλος ἅπαντας μεταλαβεῖν
τροφῆς, λέγων· «Τεσσαρεσκαιδεκάτην
σήμερον ἡμέραν προσδοκῶντες —ἄσιτοι
διατελεῖτε,§ μηδὲν* προσλαβόμενοι. 34 Διὸ

---

† **27:29** μη πως **f35** [95%] HF,RP,OC,TR,CP ¦ μηπω A ¦ μη που B,C [5%] NU ¦ μη א ‡ **27:29** εις **f35** [95%] HF,RP,OC,TR,CP ¦ κατα אA,B,C [5%] NU § **27:29** εκπεσωμεν **f35** A,B,C [76%] HF,RP,OC,CP,NU ¦ εμπεσωμεν א [1%] ¦ εκπεσωσιν [18%] TR ¦ εκπεσομεν [5%] * **27:29** ηυχοντο *rell* ¦ ευχοντο B,C [20%] † **27:30** πρωρας **f35** B,C [96%] HF,RP,OC,TR,CP ¦ πρωρης A [1%] NU ¦ πλωρης א [1%] ¦ three other variants [2%] ‡ **27:30** μελλοντων αγκυρας **f35** א [95%] HF,RP,OC,TR,CP ¦ 21 A,B,C [5%] NU § **27:31** εν τω πλοιω μεινωσιν **f35** א [20%] ¦ 4123 A,B,C [75%] HF,RP,OC,TR,CP,NU ¦ 123 [5%] * **27:32** οι στρατιωται απεκοψαν **f35** [90%] HF,RP,OC,TR,CP ¦ 321 אA,B,C [10%] NU † **27:33** εμελλεν ημερα **f35** [76%] OC,TR,CP ¦ ημελλεν 2 [21%] HF,RP ¦ 2 ημελλεν B,C [2%] NU ¦ 21 אA ‡ **27:33** γινεσθαι *rell* ¦ γενεσθαι [10%] ¦ γεινεσθαι אA,B § **27:33** διατελειτε *rell* ¦ διατελειται א [13%] ¦ one other variant * **27:33** μηδεν **f35** C [98%] HF,RP,OC,TR,CP ¦ μηθεν אA,B [2%] NU

παρακαλῶ ὑμᾶς μεταλαβεῖν† τροφῆς,
τοῦτο γὰρ πρὸς τῆς ἡμετέρας‡ σωτηρίας
ὑπάρχει· οὐδενὸς γὰρ ὑμῶν θρὶξ ἐκ§ τῆς
κεφαλῆς πεσεῖται.»* 35 Εἰπὼν† δὲ ταῦτα
καὶ λαβὼν ἄρτον, εὐχαρίστησεν‡ τῷ Θεῷ
ἐνώπιον πάντων· καὶ κλάσας ἤρξατο ἐσθίειν.
36 Εὔθυμοι δὲ γενόμενοι πάντες§ καὶ αὐτοὶ
προσελάβοντο τροφῆς. 37 (Ἦμεν* δὲ ἐν
τῷ πλοίῳ αἱ πᾶσαι ψυχαί,† διακόσιαι
ἑβδομήκοντα ἕξ.) 38 Κορεσθέντες δὲ‡ τροφῆς,
ἐκούφιζον τὸ πλοῖον ἐκβαλλόμενοι τὸν σῖτον
εἰς τὴν θάλασσαν.

39 Ὅτε δὲ ἡμέρα ἐγένετο, τὴν γῆν οὐκ
ἐπεγίνωσκον, κόλπον δέ τινα κατενόουν§
ἔχοντα αἰγιαλόν, εἰς ὃν ἐβουλεύσαντο,* εἰ
δυνατόν,† ἐξῶσαι τὸ πλοῖον. 40 Καὶ τὰς
ἀγκύρας περιελόντες εἴων εἰς τὴν θάλασσαν,

---

† **27:34** μεταλαβειν **f**35 ℵA,B,C [30%] OC,NU ¦ προσλαβειν [70%] HF,RP,TR,CP ‡ **27:34** ημετερας **f**35 A [50%] ¦ υμετερας ℵB,C [50%] HF,RP,OC,TR,CP,NU § **27:34** εκ **f**35 ℵ [92%] HF,RP,OC,TR,CP ¦ απο A,B,C [6%] NU ¦ — [2%] * **27:34** πεσειται **f**35 [95%] HF,RP,OC,TR,CP ¦ απολειται ℵA,B,C [5%] NU † **27:35** ειπων **f**35 [98%] HF,RP,OC,TR,CP ¦ ειπας ℵA,B,C [2%] NU ‡ **27:35** ευχαριστησεν *rell* ¦ ηυχαριστησεν [20%] ¦ ευχαριστησας ℵ § **27:36** παντες *rell* ¦ — CP ¦ απαντες ℵ * **27:37** ημεν **f**35 C [98%] HF,RP,OC,TR,CP ¦ ημεθα ℵA,B [2%] NU † **27:37** εν τω πλοιω αι πασαι ψυχαι **f**35 [86%] HF,RP,OC,TR,CP ¦ 456123 ℵB,C [4%] NU ¦ 56123 A [5%] ¦ 12356 [5%] ‡ **27:38** δε **f**35 ℵA,B,C [30%] OC,TR,CP,NU ¦ 1 της [70%] HF,RP § **27:39** κατενοουν *rell* ¦ υπενοουν [10%] * **27:39** εβουλευσαντο **f**35 [91%] HF,RP,OC,TR,CP ¦ εβουλευοντο ℵB,C [4%] NU ¦ εβουλοντο A [5%] † **27:39** δυνατον **f**35 C [90%] HF,RP,CP ¦ δυναιντο ℵA,B [10%] OC,TR,NU

ἅμα ἀνέντες τὰς ζευκτηρίας τῶν πηδαλίων· καὶ ἐπάραντες τὸν ἀρτέμονα‡ τῇ πνεούσῃ κατεῖχον εἰς τὸν αἰγιαλόν.
41 Περιπεσόντες δὲ εἰς τόπον διθάλασσον ἐπώκειλαν§ τὴν ναῦν·* καὶ ἡ μὲν πρῷρα ἐρείσασα ἔμενεν† ἀσάλευτος, ἡ δὲ πρύμνα ἐλύετο‡ ὑπὸ τῆς βίας τῶν κυμάτων.§

42 Τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο ἵνα τοὺς δεσμώτας ἀποκτείνωσιν, μή τις ἐκκολυμβήσας διαφύγῃ.*
43 Ὁ δὲ ἑκατόνταρχος,† βουλόμενος διασῶσαι τὸν Παῦλον, ἐκώλυσεν αὐτοὺς τοῦ βουλήματος‡ ἐκέλευσέν τε τοὺς δυναμένους κολυμβᾶν ἀπορρίψαντας§ πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι,
44 καὶ τοὺς λοιπούς, οὓς μὲν ἐπὶ σανίσιν, οὓς δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου. Καὶ οὕτως ἐγένετο πάντας διασωθῆναι ἐπὶ τὴν γῆν.

# 28

‡ **27:40** αρτεμονα **f**[35] [60%] HF,RP,TR ¦ αρτεμωνα ℵA,B,C [40%] OC,CP,NU § **27:41** επωκειλαν **f**[35] [64%] HF,RP,OC,TR,CP ¦ επεκειλαν ℵB,C [3%] NU ¦ επωκιλαν [15%] ¦ εποκιλαν [10%] ¦ επεκιλαν [7%] ¦ three other variants A [1%] * **27:41** ναυν *rell* ¦ ναυ [23%] † **27:41** εμενεν **f**[35] A [25%] ¦ εμεινεν ℵB,C [75%] HF,RP,OC,TR,CP,NU ‡ **27:41** ελυετο *rell* ¦ διελυετο [12%] ¦ ελυτο ℵ § **27:41** των κυματων **f**[35] C (98.8%) HF,RP,OC,TR,CP[NU] ¦ — ℵA,B (1.2%) * **27:42** διαφυγη **f**[35] ℵA,B,C [92%] HF,RP,CP,NU ¦ διαφυγοι [5%] OC,TR ¦ διαφυγει [3%] † **27:43** εκατονταρχος **f**[35] [95%] HF,RP,TR,CP ¦ εκατονταρχης ℵA,B,C [5%] OC,NU ‡ **27:43** βουληματος *rell* ¦ βουλευματος [1%] CP § **27:43** απορριψαντας **f**[35] A [95%] HF,RP,OC,TR,CP ¦ αποριψαντας ℵ(B)C [2%] NU ¦ απορρηψαντος [3%]

### *Malta*

1 Καὶ διασωθέντες, τότε ἐπέγνωσαν* ὅτι
Μελίτη ἡ νῆσος καλεῖται. 2 Οἱ δὲ† βάρβαροι
παρεῖχον οὐ τὴν τυχοῦσαν φιλανθρωπίαν
ἡμῖν, ἀνάψαντες‡ γὰρ πυράν, προσελάβοντο
πάντας ἡμᾶς, διὰ τὸν ὑετὸν τὸν ἐφεστῶτα
καὶ διὰ§ τὸ ψῦχος. 3 Συστρέψαντος δὲ τοῦ
Παύλου φρυγάνων* πλῆθος καὶ ἐπιθέντος
ἐπὶ τὴν πυράν, ἔχιδνα ἐκ† τῆς θέρμης
ἐξελθοῦσα‡ καθήψατο§ τῆς χειρὸς αὐτοῦ.
4 Ὡς δὲ εἶδον οἱ βάρβαροι κρεμάμενον*
τὸ θηρίον ἐκ τῆς χειρὸς αὐτοῦ, ἔλεγον
πρὸς ἀλλήλους,† «Πάντως φονεύς ἐστιν ὁ
ἄνθρωπος οὗτος, ὃν διασωθέντα ἐκ τῆς
θαλάσσης ἡ Δίκη ζῆν οὐκ εἴασεν.» 5 Ὁ μὲν οὖν,
ἀποτιναξάμενος‡ τὸ θηρίον εἰς τὸ πῦρ, ἔπαθεν
οὐδὲν κακόν. 6 Οἱ δὲ προσεδόκων αὐτὸν
μέλλειν πίμπρασθαι, ἢ καταπίπτειν ἄφνω
νεκρόν· ἐπὶ πολὺ δὲ αὐτῶν προσδοκώντων

---

* **28:1** επεγνωσαν **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ επεγνωμεν אA,B,C [4%] NU ¦ two other variants † **28:2** δε **f**$^{35}$ א [92%] HF,RP,OC,TR,CP ¦ τε A,B,C [8%] NU ‡ **28:2** αναψαντες **f**$^{35}$ [94%] HF,RP,OC,TR,CP ¦ αψαντες אA,B,C [6%] NU § **28:2** δια *rell* ¦ — א [15%] * **28:3** φρυγανων **f**$^{35}$ א [95%] HF,RP,OC,TR,CP ¦ 1 τι A,B,C [5%] NU † **28:3** εκ **f**$^{35}$ [70%] HF,RP,TR,CP ¦ απο אA,B,C [30%] OC,NU ‡ **28:3** εξελθουσα **f**$^{35}$ אA,B,C [35%] TR,NU ¦ διεξελθουσα [65%] HF,RP,OC,CP § **28:3** καθηψατο **f**$^{35}$ C [25%] ¦ καθηψεν אA,B [72%] HF,RP,OC,TR,CP,NU ¦ καθεικε [3%] * **28:4** κρεμαμενον *rell* ¦ κρεμμαμενον [15%] † **28:4** ελεγον προς αλληλους **f**$^{35}$ [92%] HF,RP,OC,TR,CP ¦ 231 אA,B,C [8%] NU ‡ **28:5** αποτιναξαμενος **f**$^{35}$ A [55%] ¦ αποτιναξας אB [45%] HF,RP,OC,TR,CP,NU

καὶ θεωρούντων μηδὲν ἄτοπον εἰς αὐτὸν
γινόμενον, μεταβαλλόμενοι§ ἔλεγον θεὸν
αὐτὸν εἶναι.*
7 Ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον
ὑπῆρχεν χωρία τῷ πρώτῳ τῆς νήσου, ὀνόματι
Ποπλίῳ, ὃς ἀναδεξάμενος ἡμᾶς τρεῖς ἡμέρας
φιλοφρόνως ἐξένισεν. 8 Ἐγένετο δὲ τὸν
πατέρα τοῦ Ποπλίου πυρετοῖς καὶ δυσεντερίᾳ†
συνεχόμενον κατακεῖσθαι· πρὸς ὃν ὁ Παῦλος
εἰσελθὼν καὶ προσευξάμενος,‡ ἐπιθεὶς τὰς
χεῖρας αὐτῷ, ἰάσατο αὐτόν. 9 Τούτου οὖν§
γενομένου, καὶ οἱ λοιποὶ οἱ ἔχοντες ἀσθενείας
ἐν τῇ νήσῳ* προσήρχοντο καὶ ἐθεραπεύοντο·
10 οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς, καὶ
ἀναγομένοις ἐπέθεντο τὰ πρὸς τὴν χρείαν.†

### *Rome*

11 Μετὰ δὲ τρεῖς μῆνας ἀνήχθημεν‡ ἐν πλοίῳ
παρακεχειμακότι ἐν τῇ νήσῳ, Ἀλεξανδρίνῳ,§
παρασήμῳ Διοσκούροις. 12 Καὶ καταχθέντες
εἰς Συρακούσας ἐπεμείναμεν ἡμέρας τρεῖς·

---

§ **28:6** μεταβαλλομενοι **f**35 ℵ [87%] HF,RP,OC,TR,CP ¦ μεταβαλομενοι A,B [13%] NU * **28:6** θεον αυτον ειναι **f**35 [96%] HF,RP,OC,TR,CP ¦ 213 [2%] ¦ 231 ℵB [2%] NU ¦ 321 A † **28:8** δυσεντερια **f**35 [50%] HF,RP,TR,CP ¦ δυσεντεριω ℵA,B [50%] OC,NU ‡ **28:8** προσευξαμενος *rell* ¦ 1 και [2%] OC § **28:9** ουν **f**35 [92%] HF,RP,OC,TR,CP ¦ δε ℵA,B [8%] NU * **28:9** εχοντες ασθενειας εν τη νησω **f**35 [95%] HF,RP,OC,TR,CP ¦ 34512 ℵA,B [5%] NU † **28:10** την χρειαν **f**35 [90%] HF,RP,OC,TR,CP ¦ τας χρειας ℵA,B [10%] NU ‡ **28:11** ανηχθημεν **f**35 ℵA,B [70%] HF,OC,TR,NU ¦ ηχθημεν [30%] RP,CP § **28:11** αλεξανδρινω *rell* ¦ αλεξανδρηνω [12%] CP

13 ὅθεν περιελθόντες* κατηντήσαμεν εἰς
Ῥήγιον. Καὶ μετὰ μίαν ἡμέραν ἐπιγενομένου
νότου, δευτεραῖοι ἤλθομεν εἰς Ποτιόλους,
14 οὗ εὑρόντες ἀδελφούς, παρεκλήθημεν ἐπ᾽†
αὐτοῖς ἐπιμεῖναι‡ ἡμέρας ἑπτά—καὶ οὕτως
εἰς τὴν Ῥώμην ἤλθομεν.§ 15 Κἀκεῖθεν οἱ
ἀδελφοί, ἀκούσαντες τὰ περὶ ἡμῶν, ἐξῆλθον*
εἰς ἀπάντησιν ἡμῖν† ἄχρις‡ Ἀππίου Φόρου
καὶ Τριῶν Ταβερνῶν, οὓς ἰδὼν ὁ Παῦλος,
εὐχαριστήσας τῷ Θεῷ, ἔλαβεν θάρσος.
16 Ὅτε δὲ ἤλθομεν§ εἰς Ῥώμην, ὁ
ἑκατόνταρχος παρέδωκεν τοὺς δεσμίους*
τῷ στρατοπεδάρχῃ·† τῷ δὲ Παύλῳ ἐπετράπη‡
μένειν καθ᾽ ἑαυτόν, σὺν τῷ φυλάσσοντι
αὐτὸν§ στρατιώτῃ.

### *Paul and the Jews*

---

* **28:13** περιελθοντες **f35** A [95%] HF,RP,OC,TR,CP ¦ περιελοντες אB [5%] NU † **28:14** επ **f35** [95%] HF,RP,OC,TR,CP ¦ παρ אA,B [5%] NU ‡ **28:14** επιμειναι *rell* ¦ επιμειναντες [15%] § **28:14** ηλθομεν *rell* ¦ ηλθωμεν [9%] ¦ ηλθαμεν א(A)B [1%] NU ¦ εισηλθομεν [3%] * **28:15** εξηλθον **f35** [96%] HF,RP,OC,TR,CP ¦ ηλθαν אB,NU ¦ ηλθον A [3%] † **28:15** ημιν *rell* ¦ ημων [30%] ¦ υμιν א ‡ **28:15** αχρις **f35** [97%] HF,OC,TR,CP ¦ αχρι אA,B [3%] RP,NU ¦ αχριμ א § **28:16** ηλθομεν **f35** [90%] HF,RP,OC,TR,CP ¦ εισηλθομεν א(A)B [5%] NU ¦ ηλθον [5%] * **28:16** ο εκατονταρχος (εκατονταρχης OC) παρεδωκεν τους δεσμιους **f35** (95.3%) HF,RP(OC)TR,CP ¦ — אA,B (4.7%) NU † **28:16** τω στρατοπεδαρχη **f35** (72.2%) RP,OC,TR,CP ¦ 1 στρατοπεδαρχω (22.9%) HF ¦ — אA,B (4.9%) NU ‡ **28:16** τω δε παυλω επετραπη **f35** (95.3%) HF,RP,OC,TR,CP ¦ 413 אA,B (4.7%) NU § **28:16** αυτον *rell* ¦ αυτω [15%]

17 Ἐγένετο δὲ μετὰ ἡμέρας τρεῖς
συγκαλέσασθαι τὸν Παῦλον* τοὺς ὄντας
τῶν Ἰουδαίων πρώτους· συνελθόντων δὲ
αὐτῶν, ἔλεγεν πρὸς αὐτούς· «Ἄνδρες ἀδελφοί,
ἐγὼ† οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ ἢ
τοῖς ἔθεσιν τοῖς πατρῴοις, δέσμιος ἐξ
Ἱεροσολύμων παρεδόθην εἰς τὰς χεῖρας
τῶν Ῥωμαίων, 18 οἵτινες ἀνακρίναντές με
ἐβούλοντο‡ ἀπολῦσαι διὰ τὸ μηδεμίαν αἰτίαν
θανάτου ὑπάρχειν ἐν ἐμοί. 19 Ἀντιλεγόντων δὲ
τῶν Ἰουδαίων, ἠναγκάσθην ἐπικαλέσασθαι
Καίσαρα· οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι
κατηγορῆσαι.§ 20 Διὰ ταύτην οὖν τὴν αἰτίαν
παρεκάλεσα ὑμᾶς ἰδεῖν* καὶ προσλαλῆσαι·
ἕνεκεν γὰρ τῆς ἐλπίδος τοῦ Ἰσραὴλ τὴν
ἅλυσιν ταύτην περίκειμαι.» 21 Οἱ δὲ πρὸς
αὐτὸν εἶπον·† «Ἡμεῖς οὔτε γράμματα περὶ
σοῦ ἐδεξάμεθα ἀπὸ τῆς Ἰουδαίας, οὔτε
παραγενόμενός τις τῶν ἀδελφῶν ἀπήγγειλεν
ἢ ἐλάλησέν τι πονηρὸν περὶ σοῦ.‡ 22 Ἀξιοῦμεν
δὲ παρὰ σοῦ ἀκοῦσαι§ ἃ φρονεῖς· περὶ μὲν γὰρ
τῆς αἱρέσεως ταύτης, γνωστόν ἐστιν ἡμῖν*

---

* **28:17** τον παυλον **f**$^{35}$ [93%] HF,RP,OC,TR,CP ¦ αυτον ℵA,B [7%] NU † **28:17** ανδρες αδελφοι εγω **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ 312 A,B [5%] NU ¦ λεγων 12 ℵ ‡ **28:18** εβουλοντο *rell* ¦ ηβουλοντο [15%] § **28:19** κατηγορησαι **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ κατηγορειν ℵA,B [5%] NU * **28:20** υμας ιδειν *rell* ¦ 21 CP † **28:21** ειπον *rell* ¦ ειπαν ℵA,B [15%] NU ‡ **28:21** πονηρον περι σου **f**$^{35}$ [20%] ¦ 231 ℵA,B [80%] HF,RP,OC,TR,CP,NU § **28:22** παρα σου ακουσαι *rell* ¦ 312 ℵ [13%] * **28:22** εστιν ημιν **f**$^{35}$ [95%] HF,RP,OC,TR,CP ¦ 21 ℵA,B [5%] NU

ὅτι πανταχοῦ ἀντιλέγεται.»
23 Ταξάμενοι δὲ αὐτῷ ἡμέραν, ἧκον† πρὸς
αὐτὸν εἰς τὴν ξενίαν πλείονες, οἷς ἐξετίθετο
διαμαρτυρόμενος τὴν βασιλείαν τοῦ Θεοῦ,
πείθων‡ τε αὐτοὺς τὰ§ περὶ τοῦ Ἰησοῦ, ἀπό τε
τοῦ Νόμου Μωϋσέος* καὶ τῶν Προφητῶν, ἀπὸ
πρωῒ ἕως ἑσπέρας. 24 Καὶ οἱ μὲν ἐπείθοντο
τοῖς λεγομένοις, οἱ δὲ ἠπίστουν.
25 Ἀσύμφωνοι δὲ ὄντες πρὸς ἀλλήλους
ἀπελύοντο, εἰπόντος τοῦ Παύλου ῥῆμα ἕν,
ὅτι «Καλῶς τὸ Πνεῦμα τὸ Ἅγιον ἐλάλησεν
διὰ Ἡσαΐου τοῦ προφήτου πρὸς τοὺς πατέρας
ἡμῶν,† 26 λέγον·‡ ‹Πορεύθητι πρὸς τὸν λαὸν
τοῦτον καὶ εἶπον,§ «Ἀκοῇ ἀκούσετε,* καὶ οὐ
μὴ συνῆτε·† καὶ βλέποντες βλέψετε, καὶ οὐ
μὴ ἴδητε»· 27 ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ
λαοῦ τούτου, καὶ τοῖς ὠσὶν βαρέως ἤκουσαν,
καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν·‡
μήποτε ἴδωσιν τοῖς ὀφθαλμοῖς καὶ τοῖς
ὠσὶν ἀκούσωσιν καὶ τῇ καρδίᾳ συνῶσιν
καὶ ἐπιστρέψωσιν, καὶ ἰάσωμαι§ αὐτούς.›

---

† **28:23** ηκον **f**35 [95%] HF,RP,OC,TR,CP ¦ ηλθον א(A)B [5%] NU ‡ **28:23** πειθων *rell* ¦ πειθον [15%] ¦ πιθων א § **28:23** τα **f**35 [90%] HF,RP,OC,TR,CP ¦ — אA,B [10%] NU * **28:23** μωυσεος **f**35 [25%] ¦ μωσεως A [35%] HF,RP,OC,TR,CP ¦ μωυσεως אB [40%] NU † **28:25** ημων **f**35 [78%] HF,RP,OC,TR,CP ¦ υμων א(A)B [22%] NU ‡ **28:26** λεγον **f**35 A [55%] HF,RP,OC,TR,CP ¦ λεγων אB [45%] NU § **28:26** ειπον *rell* ¦ ειπε [5%] TR * **28:26** ακουσετε *rell* ¦ ακουσητε A [20%] ¦ ακουσεται [6%] † **28:26** συνητε *rell* ¦ συνειτε [20%] ‡ **28:27** εκαμμυσαν *rell* ¦ εκαμυσαν [5%] CP § **28:27** ιασωμαι **f**35 [40%] TR,CP ¦ ιασομαι אA,B [60%] HF,RP,OC,NU

28 Γνωστὸν οὖν ἔστω ὑμῖν ὅτι τοῖς ἔθνεσιν
ἀπεστάλη* τὸ σωτήριον τοῦ Θεοῦ· αὐτοὶ καὶ
ἀκούσονται.» 29 Καὶ ταῦτα αὐτοῦ εἰπόντος,
ἀπῆλθον οἱ Ἰουδαῖοι, πολλὴν ἔχοντες ἐν
ἑαυτοῖς συζήτησιν.†,‡

## *Two tranquil years*

30 Ἔμεινεν§ δὲ ὁ Παῦλος* διετίαν ὅλην ἐν
ἰδίῳ μισθώματι, καὶ ἀπεδέχετο πάντας τοὺς
εἰσπορευομένους πρὸς αὐτόν, 31 κηρύσσων
τὴν βασιλείαν τοῦ Θεοῦ καὶ διδάσκων τὰ
περὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ,† μετὰ πάσης

* **28:28** απεσταλη **f**35 [95%] HF,RP,TR,CP ¦ 1 τουτο אA,B [5%] OC,NU (OC is in small print) † **28:29** whole verse **f**35 (95.3%) HF,RP,OC,TR,CP ¦ — אA,B (4.7%) NU ‡ **28:29** συζητησιν *rell* ¦ ζητησιν [1%] CP § **28:30** εμεινεν **f**35 A [96%] HF,RP,OC,TR,CP ¦ ενεμεινεν B [4%] NU ¦ ενεμειναν א * **28:30** ο παυλος **f**35 [95%] HF,RP,OC,TR,CP ¦ — אA,B [5%] NU † **28:31** χριστου *rell* ¦ — א [12%]

παρρησίας, ἀκωλύτως.‡

‡ **28:31** The citation of $\mathbf{f}^{35}$ is based on thirty-five MSS—18, 35, 141, 201, 204, 386, 394, 444, 824, 928, 986, 1072, 1075, 1100, 1249, 1482, 1503, 1548, 1617, 1652, 1732, 1761, 1855, 1856, 1864, 1865, 1876, 1897, 2080, 2261, 2352, 2466, 2554, 2587 and 2723—all of which I collated myself. None of them is a 'perfect' representative of $\mathbf{f}^{35}$ in Acts, as it stands [an unreasonable expectation, presumably, for a book this size]. For all that, several come quite close! Of the MSS I have collated [there may be better ones yet to be done], 1864 deviates from the presumed family profile five times, 18 seven times and 2723 eight times. Turning to their exemplars, that of 35 was off by two, that of 18 and 1864 by three, that of 2723 by four, that of 1865 by five, and that of 824, 1503 and 1897 by six. The uniformity is impressive. Since these MSS come from all over the Mediterranean world (Sinai, Jerusalem, Patmos, Constantinople, Bucharest, Aegean, Trikala, Meteora, Athens, Mt. Athos [seven different monasteries], Grottaferrata, Vatican, Kalavryta, etc.) they are certainly representative of the family, giving us the precise family profile—it is reflected in the Text without exception. In the statements of evidence I have included the percentage of manuscript attestation for each variant within either ( ) or [ ]. I have used ( ) for the evidence taken from *TuT*, which I take to be reasonably precise. For the variant sets that are not covered there I used Reuben Swanson's excellent collations (*New Testament Greek Manuscripts: Acts* [Ed. Reuben Swanson, Pasadena, CA: William Carey International University Press, 1998]). For Acts Swanson collated 60 MSS, thirteen being fragmentary (for any given variant set there will usually be at least 45 MSS listed), and I occasionally supplemented from Scrivener and von Soden—the percentages offered, I have used [ ] for these, are extrapolations based on a comparison of these sources. I venture to predict, if complete collations ever become available, that for any non-Byzantine variants listed with 5 to 1% support (in my apparatus) the margin of error should not exceed ±2%; for non-Byzantine variants listed with 10 to 6% support the margin of error should hardly exceed ±4%; where there is some division among the Byzantine witnesses the margin of error should rarely exceed ±15%—since Swanson collated considerably fewer MSS for Acts than he did for Paul's epistles, and since I find *TuT* to be less trustworthy here than in other

# Η Καινή Διαθήκη
## The Greek New Testament According to Family 35, Wilbur Pickering

Copyright © 2020 Wilbur N. Pickering

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Koine

Contributor: Dwayne Green, Robert A. Boyd

This translation is made available to you under the terms of the Creative Commons Attribution-Noncommercial-No Derivatives license 4.0.
You may share and redistribute this Bible translation or extracts from it in any format, provided that:
You include the above copyright and source information.
You do not sell this work for a profit.
You do not change any of the words or punctuation of the Scriptures.
Pictures included with Scriptures and other documents on this site are licensed just for use with those Scriptures and documents. For other uses, please contact the respective copyright owners.

2024-02-21

---

PDF generated using Haiola and XeLaTeX on 29 Apr 2024 from source files dated 21 Feb 2024
cf64fb6f-e463-5ebb-820f-5a4a7bb37b73